
3 1761 06232004 9

ΙΣΑΑΚΙΟΥ ΚΑΙ ΙΩΑΝΝΟΥ
ΤΟΥ ΤΖΕΤΖΟΥ

ΣΧΟΛΙΑ

ΕΙΣ

ΛΥΚΟΦΡΟΝΑ.


LECTIONIBUS EDITIONIS SEBASTIANAE VARIIS IN LYCOPHRONIS ALEXANDRAM PRAEMISSIS ET RECENSITIS, AD SUPPLENDAM ET ABSOLVENDAM EDIT. REICHARDIANAM, E TRIBUS CODD. MSS. VITEBERGENSIBUS VNOQUE CIZENSI NUNC PRIMUM COLLATIS EMENDAVIT, NOTIS CUM GEORG. FRID. THRYLLITZSCHII, TUM SUIS ILLUSTRAVIT, SCHOLIIS MINORIBUS NONDUM EDITIS AUXIT, COMMENTARIOS MEURSII ET POTTERI ADDIDIT, ET INDICIBUS INSTRUXIT VBERRIMIS

M. CHRIST. GOTTFRIED MÜLLER

RECTOR SCHOLAE ET BIBLIOTH. EPISCOP. CIZENSIS PRAEFECTUS, AC SOCIETATIS LAT. IENENSIS SODALIS.

VOLUMEN SECUNDUM.

LIPSIAE, MDCCCXI.
SUMTIBUS F. C. G. VOGELII.


LIBRARY
OCT 7 1963
UNIVERSITY OF TORONTO

Ex 261. Πτεροῖσι] τοῖς τοῦ ἅρματος τροχοῖς. Μεταφορικῶς [1]) δὲ εἰπὼν τὸν Ἀχιλλέα ἀετὸν εἰκότως τῇ τροπῇ ἐπιμείνας τοὺς τροχοὺς τοῦ ἅρματος αὐτοῦ πτερὰ ἐκάλεσεν ὡς δι' αὐτῶν φερόμενον καὶ πετόμενον. Λέγει δὲ καὶ τὴν παρ' Ὁμήρῳ διφρουλκίαν τοῦ Ἕκτορος, ὅτε αὐτὸν ἀνεῖλεν ὁ Ἀχιλλεύς.

Ex 262. Ῥαιβῷ] τὸ ῥαιβῷ [2]) ἀντὶ τοῦ ῥαιβῇ θηλυκῶς [3]) Ἀττικόν ἐστιν. Ἢ οὕτως εἰπέ· Διαγράφων τυπωτὴν καὶ κεχαραγμένην ἐν ῥαιβῷ ἀρότρῳ ἐλλειπτικῶς. Ῥαιβῷ δὲ τῇ ἐπικαμπεῖ.

Τόρμαν] λέγει αὐτὸ τὸ χάραγμα τὸ ἀπὸ τοῦ τροχοῦ [4]).

Ἀγκύλῃ βάσει] ἀσυνδέτως εἶπεν ἀντὶ τοῦ ἐν ἀγκύλῃ βάσει [5]).

Ex 263. Λευρᾶς] λίαν εὐρείας. Ἀλλὰ κᾂν τὰς λέξεις ἄνωθεν τῶν στίχων γράφε [6]).

Ex 264. Κλάζων [7]) τ' ἄμικτον] καὶ βοῶν ἄμικτον. Εἶπε δὲ ἢ ὅτι ἡδεῖαν φωνὴν ἔχει ὁ ἀετὸς καὶ ἐξαίρετον πα-

1) μεταφορικῶς usque ad ἀνεῖλεν ὁ Ἀχιλλεὺς a Seb. e duobus Codd. eruta in nostris non exhibentur. Homer. Il. X 395 — 405.

2) ῥαιβῷ — ἐλλειπτικῶς) Vit. 1. et Ciz. modo sic: ῥαιβῷ, ἀρότρῳ ἐλλειπτικῶς, reliquis omissis.

3) θηλυκῶς) Vitt. 2 et 3. θηλυκόν.

4) τόρμαν — τροχοῦ) Desiderantur in nostris.

5) ἀγκύλῃ — βάσει) Habent nostri, sed ante δάφει, sic: ἀσυνδέτως εἶπεν, ὡς τὸ χέρσον.

6) ἀλλὰ — γράφε) Vit. 1. et Ciz. non agnoscunt.

7) κλάζων — usque ad Ὅμηρος absunt a Ciz. et Vit. 1. Reliquis omissis Vitt. 2 et 3. habent modo: κλάζων, βοῶν. In edit. Potteri desunt εἶπε δὲ usque ad τὰ λοιπὰ ὄρνεα, ἢ ὅτι.

ρα τὰ λοιπὰ ὄρνεα ἢ ὅτι μόνος ὁ ἀετὸς ἤτοι Ἀχιλλεὺς ἐπολέμει κεχωρισμένος τῶν Ἑλλήνων, ὥς φησιν Ὅμηρος.

Ex 265. Ἀγαστόρων τρόφιν] ὁμογαστόρων 8) ἀδελφὸν, ἤτοι τὸν συντεθραμμένον.

Ex 266. Πτώου τε πατρὸς] τὸν υἱόν τε τοῦ Πτώου πατρὸς 9), ἤτοι τοῦ Ἀπόλλωνος. Στησίχορος γὰρ καὶ Εὐφορίων καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς ποιηταί 10) φασι τὸν Ἕκτορα υἱὸν εἶναι Ἀπόλλωνος 11). Πτῶος 12) δὲ ὁ Ἀπόλλων οὕτω λέγεται· Λητοῖ ἐν Δήλῳ γεννώσῃ 13) Ἄρτεμιν καὶ Ἀπόλλωνα σῦς μέγας ἄγριος ἐφάνη, ἰδοῦσα δὲ τοῦτον 14) ἐπτοήθη καὶ Πτῶα ἐκλήθη. Ὁμοίως δὲ καὶ Ἄρτεμις καὶ Ἀπόλλων Πτῶος 15).

296. Λαβὼν δὲ ταῦρον 1)] ταῦρον τὸν Ἕκτορα καλεῖ ὡς θυμικὸν καὶ ἀνδρεῖον.

Πεφασμένου] τοῦ πεφονευμένου καὶ ἀνῃρημένου 2).

8) ὁμογαστ.) Noſtri ὁμογαστέρων. Vit. 1. et Ciz. modo: ὁμογ. ἀδελφῶν, ſublatis iis, quae ſequuntur.

9) τὸν υἱόν — πατρὸς) Vit. 1. et Ciz. υἱόν τε πατρὸς τοῦ πτώου.

10) ποιηταί) Noſtri cum edd. ante Seb. ποιητής, vt ad ſolum Alexandrum Aetolum referretur, cuius mentio fit ap. Macrob. V, 22, et ab Alexandro Polyhiſtore, ſupra ad v. 177. laudato, diſtingueretur.

11) Ἀπόλλ.) Noſtri art. τοῦ praepoſitum delent.

12) πτῶος) *Apollinis filius dic. Stephano ad* ἀκραιφία, *ſed Pauſaniae* IX, 23, ἀθάμαντος καὶ θεμιστοῦς, ἀφ' οὗ τῷ τε Ἀπόλλωνι ἐπίκλησις καὶ τῷ ὄρει. *Mons, vt Stephanus tradit, ita vocatus eſt,* ὅτι λητὼ ἐκεῖ βουλομένην τεκεῖν ὁ κάπρος ἐπιφανεὶς ἐπτόησε, *vt recte eum locum Salmaſius* ὁ πάνυ *conſtituit. In eo monte, puto, templum fuit Apollinis* πτώου, *in quo oracula edebantur, quae intelligit Plutarch. de oraculorum defectu.* Thryllit.

13) γεννώσ.) Vit. 1. et Ciz. γεννωμένῃ.

14) τοῦτον) Sic pro τοῦτο noſtri cum Seb.

15) πτῶος) Noſtri delent, vti etiam art. ἡ ante Ἄρτεμ. et ὁ ante Ἀπόλλων.

1) τοῦ πεφασμ.) Tollunt Vit. 1. et Ciz. poſt λαβὼν ταῦρον, recte, nam mox ſeorſim ponitur.

2) πεφασ. — ἀνῃρημ.) Abeſt a Vit. 3.

Δάνος] νῦν τὸ δῶρον. Φασὶ γὰρ [3]) οἱ παλαιοὶ, ὅτι Ἀχιλλεὺς ἐρασθεὶς Πολυξένης τῆς Πριάμου θυγατρὸς ἐδήλωσε τῷ Πριάμῳ συμμαχήσειν [4]) αὐτῷ, εἰ λάβοι [5]) τὴν κόρην. Ὁ δὲ συνέθετο δοῦναι· καὶ ἐλθόντων ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ναῷ Ἀλέξανδρος λάθρα τοξεύει τὸν Ἀχιλλέα, καὶ οὕτω συνέβη ἀποθανεῖν τὸν ἥρωα. Λαβόντες δὲ [6]) τὸ σῶμα αὐτοῦ οἱ Τρῶες ἠσφαλίσαντο οὐ πρότερον δώσειν ἐπαγγελλόμενοι, πρὶν ἂν τὰ δῶρα λάβωσιν ἐξοπίσω, ἃ Πρίαμος ὑπὲρ τοῦ Ἕκτορος δέδωκεν, ὃ καὶ γέγονε. Λέγει οὖν· τὸν ἀντίποινον χρυσὸν ἴσον τῷ σταθμῷ δοὺς ὁ Ἀχιλλεὺς ταφήσεται παρὰ τοῖς Ἕλλησιν.

270. Σκεθρῷ ταλάντῳ] ἀντὶ τοῦ· ἀκριβεῖ ζυγοσταθμήσει [7]). Ὅμηρος [8]) μὲν ἁπλῶς δῶρά φησι τῷ

3) γὰρ) Nostri omnes, vt Seb. addunt, sed pro οἱ παλαιοὶ Vit. 1. et Ciz. οἱ πολλοὶ, vt edd. prior.

4) συμμαχ.) Vit. 3. συμμαχῆσαι cum Eudoc. p. 84. *Totam historiam refert Nonnus in* ἐξηγήσει ἱστοριῶν Γρηγορίου *L. 1. c. 8. p.* 133. Thryllit.

5) εἰ λάβοι) Vitt. 1 et 2. et Ciz. εἰ λάβῃ, sed Vit. 3. cum Eudoc. λάβοι.

6) λαβόντες — παρὰ τοῖς Ἕλλησιν) Nostri cum Eudocia breuiter sic: οἱ δὲ Τρῶες τὸ σῶμα αὐτοῦ τοῖς Ἕλλησιν οὐκ ἐδίδουν, ἕως ἔλαβον πάλιν (Ciz. et Vit. 1. πάντα) τὰ δῶρα, ἃ Πρίαμος ὑπὲρ Ἕκτορος ἔδωκεν. cf. Io. Tzetz. in Hom. v. 385 et 430, ibique Iacobs. Sic quoque Eudoc. p. 85. ad verbum, sed inter ἃ Πρίαμος et ἔδωκεν l. δέδωκεν inserit: ἀκριβεῖ ζυγοσταθμήσει τρυτάνης τοῦ ζυγοῦ ὑπὲρ τοῦ νεκροῦ Ἕκτορος, λάθρα τῶν Ἑλλήνων τῆς νυκτὸς τῷ Ἀχιλλεῖ. Videntur et Eudocia et Tzetzes ex vno eodemque fonte hausisse sua, e Commentariis scl. priscis in Lycophronem, nam omnia, quae hic traduntur, in solum cadunt Lycophronem.

7) ταλάντῳ — ζυγοσταθμ.) A Sebast. adiecta nostri quoque adiiciunt, sed Vit. 1. et Ciz. ζυγοστατήματι: Vitt. 2 et 3. cum Eudocia ζυγοσταθμήσει pro ζυγοσταθμήτῃ, et ante ἀκριβεῖ Vit. 2. ἀντὶ τοῦ, quod recepimus, Vit. 3. vero ἤτοι. E tribus vocc. ζυγοσταθμήτῃ, ζυγοστατήματι et ζυγοσταθμήσει, quae Lexica ignorant omnia, recepimus vltimum, quia est

Ἀχιλλεῖ δοθῆναι ὑπὲρ Ἕκτορος, Λυκόφρων δὲ καὶ ἄλλοι τινὲς ζυγοσταθμηθέντα αὐτὸν ἴσον χρυσὸν δοθῆναι τοῦ βάρους.

Ταλάντῳ] τάλαντον νῦν τὸ πλατὺ καὶ πεταλῶδες τοῦ ζυγοῦ, ἐν ᾧ τίθενται τὰ σταθμώμενα 9).

Τρυτάνης] τοῦ ζυγοῦ. Τρυτάνη δὲ ἡ καὶ σταχάνη 10) λεγομένη 11). Λέγεται δὲ καὶ ἡ ὅλη ῥάβδος τοῦ ζυγοῦ, ἧς ἑκατέρωθεν τὰ τάλαντα, αἵ καὶ 12) πλάστιγγες. Κυρίως δὲ τρυτάνη ἡ γλωσσὶς 13) τῆς ῥάβδου τοῦ ζυγοῦ.

Ἠρτημένον 14)] κρεμάμενον, σταθμώμενον.

271. Αὖθις 1)] εἰς τοὐπίσω.

Τὸν ἀντίποινον] τὸν ὑπὲρ τοῦ μὴ ποινηλατηθῆναι τὸν Ἕκτορα δοθέντα 2).

Ἶσον] καὶ μακρὸν καὶ βραχὺ δεξάμενος τὸ ι οὐχ εὑρήσεις 3) τὸν στίχον ἐπταισμένον, ὡς καὶ ἐδίδαξα.

compofitum ex ζυγὸς et στάθμησις.

8) ὅμηρος — τοῦ βάρους) Noſtri non habent. Hom. Il. ω, 58. ſqq.

9) σταθμώμενα) Sic pro σταθμούμενα legendum praeeuntibus Codd. Vitt. 1. 2. et Giz. Paullo poſt Seb. quoque σταθμώμενον.

10) σταχάνη) Vitt. 2 et 3. σταχίνη.

11) λεγομ.) Vit. 1. et Giz. καλουμένη.

12) αἵ καὶ) Sic pro καὶ αἵ legendum eſt cum noſtris et Phauor. ad τρυπάνη (τρυτάνη).

13) γλωσσὶς) Giz. et Vit. 1. γλῶσσα.

14) Ἠρτημένον — σταθμ.) A Seb. hic infertum exhibent quoque Vit. 1. et Giz. ſed non h. l. verum antea poſt τρυτάνης] ζυγοῦ. Phavorimus inferuit hoc ſchol. Lexico ſuo, at feſtinanter, nam verba ſeq. v. 271. αὖθις, εἰς τοὐπίσω inepte appoſuit.

1) αὖθις) Vit. 1. et Giz. αὖτις.

2) δοθέντα) Thryllit. coniicit δεθέντα.

3) οὐχ εὑρήσεις — ἐπταισ.) Vitt. 1. et Giz. vt edd. vett. οὐχ εὕρῃς: Vitt. 2 et 3. fere, vt Pott. 2. οὐκ ἔστιν ὁ στίχος ἐπταισμένος, ἀλλ' οὐδ' (οὐδ' deeſt in Potter. 2.) εὑρήσεις.

272. Μύδρον] κυρίως τὸν πεπυρακτωμένον σίδηρον παρὰ τὸ μύρεσθαι [4]). Νῦν δὲ τὸν χρυσὸν σημαίνει ἐκ τοῦ εἰπεῖν Πακτώλιον· ὁ γὰρ Πακτωλὸς ποταμὸς Σάρδεων χρυσῖτιν [5]) πρὶν εἶχε ψάμμον ἐκ τοῦ παρακειμένου [6]) ὄρους τοῦ Τμώλου καταῤῥέουσαν εἰς αὐτὸν καὶ ψήγματα [7]) καὶ μέταλλα, ἐξ ὧν τὸν χρυσὸν ποιοῦσι, τὰ νῦν δὲ [8]) ὕελον κατάγει.

273 — 74. Κρατῆρα Βάκχου [1])] εἰς τὸν χρυσοῦν ἀμφιφορέα [2]) τοῦ Διονύσου, ὃν ἐχαρίσατο τῇ Θέτιδι φυγὼν πρὸς αὐτὴν καὶ σωθεὶς, ὅτε ὑπὸ Λυκούργου μετὰ τῶν Βακχῶν ἐδιώκετο, εἰς ὃν τὰ τοῦ Πατρόκλου καὶ Ἀχιλλέως καὶ Ἀντιλόχου κεῖνται [3]) ὀστᾶ. Ἡ δὲ ἱστορία [4]) τοιαύτη· Διόνυσος ὁ Διὸς καὶ Σεμέλης παῖς ἐν Φρυγίᾳ ὑπὸ τῆς Ῥέας τυχὼν καθαρμοῦ καὶ λαβὼν πᾶσαν παρὰ τῆς θεᾶς τὴν διασκευὴν ἀνὰ πᾶσαν ἐφέρετο τὴν γῆν. Παραγενόμενος δὲ καὶ εἰς Θράκην, Λυκοῦργος ὁ τοῦ Δρύαντος μύωπι αὐτὸν ἐλαύνει τῆς γῆς καὶ καθάπτεται αὐτοῦ καὶ τῶν τιθηνῶν. Ὁ δὲ ὑπὸ τοῦ δέους εἰς τὴν θάλασσαν καταδύνει καὶ ὑπὸ τῆς Θέτιδος δέχεται. Ὁ δὲ τῇ Θέτιδι δίδωσι χρυσοῦν ἀμφιφορέα, εἰς ὃν τὰ τοῦ Ἀχιλλέως, Πατρόκλου καὶ Ἀντιλόχου ὀστᾶ ἀνέθετο. Περὶ οὗ καὶ Ὅμηρος [5]) οὕτω λέγει·

4) παρὰ τὸ μύρ.) Nostri non agnoscunt. Sunt Etymologi M.

5) χρυσῖτιν) Pro χρυσίτιν Vit. 1. et Ciz. recte.

6) παρακ.) Pro περικειμένου nostri cum Seb.

7) καὶ ψήγμ. — ποιοῦσι) Absunt a Codd. nostris.

8) τὰ νῦν δὲ) Sic pro κἂν νῦν legendum cum nostris.

1) Βάκχου) Vit. 1. et Ciz. Βάκχον, perperam.

2) ἀμφιφ.) Vitt. 2 et 3. ἀμφορέα. Io. Tzetz. in Posthom. 421. ἀμφιφορῆα, quem, ibique Iacobs. conferas velim.

3) κεῖνται) Vit. 3. κεῖται.

4) Ἡ δὲ ἱστορία usque ad περικλυτοῦ Ἡφαίστοιο desiderantur in nostris. Eudocia narrat fere eadem pag. 121.

5) Ὅμηρος) Odyss. ω, 74 et 75.

. . . . Διονύσοιο δὲ δῶρον
Φάσκ' ἔμμεναι [6]), ἔργον δὲ περικλυτοῦ Ἡφαίστοιο.

Κεκλαυσμένος Νύμφαισι] θρηνηθεὶς ταῖς Μούσαις.

Αἳ φίλαντο] αἵτινες ἠγάπησαν.

Βηφύρου γάνος] Βήφυρος ποταμὸς Μακεδονίας. Τὸ δὲ γάνος ὕδωρ [7]).

275. Λειβηθρίην σκοπὴν [1])] τὴν ἐξοχὴν τοῦ Λειβήθρου [2]) ὄρους Μακεδονίας.

Ὕπερθε Πιμπλείας] σκοπὴν [3]) ὑπεράνω τῆς Πιμπλείας ὑπάρχουσαν [4]). Πίμπλεια δὲ πόλις καὶ κρήνη καὶ ὄρος Μακεδονίας [5]), ὡς μέμνηται Καλλίμαχος ἐν Ὕμνοις λέγων·

Ὡς Μοῦσαι τὸν ἀοιδὸν [6]), ὃ μὴ Πίμπλειαν ἀείσει,
Ἔχθουσι . . . .

καὶ Ὀρφεύς [7])·

Νῦν δ' ἄγε μοι κούρη Πιμπληϊὰς [8]) ἔννεπε Μοῦσα.

6) φάσκ' ἔμμεναι) In edd. pr. φασὶν ἔμμεν: legendum putat Thryllit. φασὶν ἔμεν.

7) τὸ δὲ γ. ὕδωρ) Abeſt a noſtris.

1) Λειβηθρ. — Μακεδον.) Deſunt in Vit. 1. et Ciz. non male, nam in ſeq. ſchol. fere eadem repetuntur.

2) λειβήθρου) Vitt. 2 et 3. λυβηθ ιου.

3) σκοπὴν) A Seb. additum noſtri non agnoſcunt.

4) ὑπάρχ.) Vitt. 2 et 3. ὑπερέχουσαν, in quibus quoque verſſ. Callimachi et Orphei poſiti ſunt inter πιμπλείας et ὑπερέχουσαν.

5) Μακεδον.) In Vit. 1. et Ciz. poſitum poſt πόλις. cf. Schol. Apoll. Rh. I, 25.

6) τὸν ἀοιδὸν — ἔχθουσι) Noſtri τὴν ἀοιδὴν, ἣν μὴ (Vit. et Ciz. μοὶ) πίμπλειος ἀείσει (Vitt. 2 et 3. ἀεισιν) ὄχθος. Vit. 1. et Ciz. neque ὄχθος neque ἔχθουσι habent. cf. Spanheim. ad Callimach. in Del. v. 7.

7) ὀρφεύς) Fragm. 46. p. 499. ed. Herman. cf. infra ad v. 410. vbi Tzetz. eundem verſ. repetit.

8) πιμπλ.) Vit. 1. et Ciz. πιμπληίας, Vitt. 2 et 3. πιμ-

Καὶ αἱ μὲν οὖν λέξεις οὕτως ἔχουσι, περὶ ὧν 9) οὐκ ἔτι γράφω 10), γράψον δὲ σὺ ταύτας μέσον τῶν στίχων. Ἡ δὲ ἔννοιά ἐστι τοιαύτη, ὅτε 11) λαβὼν ὁ Ἀχιλλεὺς τὰ ὑπὲρ Ἕκτορος λύτρα καὶ πάλιν ἀντιδοὺς ἰσόσταθμα ταφήσεται ἐν τῷ κρατῆρι 12) τῷ δοθέντι τῇ Θέτιδι παρὰ Διονύσου θρηνηθεὶς ταῖς Νύμφαις ἤτοι ταῖς Μούσαις, αἵτινες περὶ 13) τὴν Πίμπλειαν, καὶ Λειβηθρίαν, καὶ τὸν Βήφυρον οἰκοῦσιν, ἃ περὶ τὸν Ἑλικῶνα καὶ τὴν Μακεδονίαν εἰσίν.

Ἀλλ' ὁ μὲν Λυκόφρων καὶ ἕτεροι ζυγοσταθμηθῆναι 14) ἰσοβαρεῖ χρυσῷ τὸν Ἕκτορα λέγουσι 15), καὶ οὕτω παρὰ τοῦ Ἀχιλλέως δοθῆναι τῷ Πριάμῳ νομίζοντες, ὅτι πλεῖόν ἐστι τὸ ζυγοσταθμηθῆναι αὐτὸν τῶν, ὧν φησὶν Ὅμηρος 16) χρημάτων. Οὐκ ἔστι δὲ τοῦτο, ὑπερβαίνουσι γὰρ 17) τὰ δέκα τάλαντα, ἅπερ φησὶν Ὅμηρος, χωρὶς τῶν λοιπῶν 18) τὸν σταθμὸν τοῦ βάρους τοῦ Ἕκτορος. Λέγουσι δὲ θανόντα τὸν Ἀχιλλέα θρηνηθῆναι ταῖς

πλείας, quam lectionem Thryllit. vulgatae praeferendam eſſe putat.

9) περὶ ὧν — στίχων) Abſunt a Vit. 1. et Ciz. vt ab edd. ante Pott.

10) γράψω) A Seb. inſertum firmat Vit. 2. γράφω Vit. 3.

11) ὅτε) Sic pro ὅτι ſcribendum auctoritate Vitt. 2 et 3. vt mox ἀντιδοὺς pro ἀντιδιδοὺς.

12) κρατῆρι) Pro κρωσσῷ, vt habent Vit. 1. et Ciz. cum Pott. exhibent Vitt. 2 et 3. cum Sebaſt. ſed τῆς Θέτιδος modo pro: τῷ δοθέντι — Διονύσου.

13) περὶ) Pro παρὰ reſtituimus e Codd. noſtris, vt mox Seb. περὶ Ἑλικῶνα pro παρά.

14) ζυγοσταθ.) Sic Vit. 3. ſed Vit. 2. hic et poſtea ζυγοσταθμῆναι: hic Vit. 1. et Ciz. vt Seb. ſed poſtea ζυγοσταθμῆσαι.

15) λέγουσι) *Puta Philoſtrat. in Heroic. c. 19, ſegm.* 12. Sebaſt.

16) Ὅμηρ.) Il. ω, 229. ſqq.

17) ὑπερβ. γὰρ) Vitt. 2 et 3. ὑπερβ. δέ.

18) χωρὶς τῶν λοιπῶν usque ad φησὶν Ὅμηρος omiſſa videntur in Vitt. 2 et 3. incuria ſcribae, quia mox addunt: ὅτι καὶ ταῖς Νηρηΐσιν.

Μούσαις, ὥσπερ φησὶν Ὅμηρος [19]), καὶ ταῖς [20]) Νηρηΐσιν. Ἀλλ' ἐκεῖνος μὲν πάντα πανσόφως [21]) γράφει καὶ ἀλληγορικώτερον, ὅτι μετὰ τῶν μουσικῶν ὀργάνων [22]) τοῦ Ἀχιλλέως ἐγεγόνει ἡ κηδεία. Νηρηΐδας δὲ λέγει θρηνῆσαι αὐτὸν, ὅτι συνέβη κατὰ τὸν αὐτὸν [23]) καιρὸν τῆς αὐτοῦ τελευτῆς μυκήσασθαι [24]) μὲν πρῶτον τὴν θάλασσαν ὥσπερ ὀδυρομένην, εἶτα μέχρι τοῦ Ῥειτείου ἐφ' ἱκανὸν διάστημα ἐξελθοῦσαν φοβῆσαι [25]) μὲν τοὺς Ἕλληνας οὐ μικρῶς, εἶτα πάλιν ὑποστραφῆναι. Καὶ τοιαῦτα μὲν, ἅ φησιν [26]) Ὅμηρος· οἱ δὲ νεώτεροι Μούσας τε δακρυούσας [27]) εἰσάγουσι, καὶ τὰς ἐκείνων γινώσκουσι κατοικίας ὅπη εἰσὶ, κἀξ οἵων ποταμῶν ἀπαρύονται ὕδατα, Πίμπλειαν καὶ Λείβηθραν [28]) λέγοντες, καὶ ποταμόν μοι [29]) τὸν Βήφυρον. Καὶ τοῦτο δὲ ἀλληγορεῖται [30])· ἐπείπερ Ὀρφεὺς ἀρχὴ καὶ πατὴρ ὑπάρχων τῶν ποιητῶν κατῴκει περὶ [31]) τὸν Ἑλικῶνα καὶ τὸ Λειβήθριον [32])· ἐμυθουργήθη, ὡς αἱ Μοῦσαι περὶ τοὺς ἐκεῖσε τόπους οἰκοῦσιν.

19) ὅμηρ.) Odyff. ω, 60. fqq.

20) καὶ ταῖς) Vit. 1. et Ciz. delent καὶ, fed Vitt. 2 et 3. ὅτι καὶ ταῖς exhibent.

21) πανσόφ.) Vitt. 2 et 3. σαφῶς.

22) μουσ. ὀργ.) Vit. 1. et Ciz. μουσῶν καὶ ὀργάνων, vt fit, auctore Thrylitzfchio, ἓν διὰ δυοῖν: Vitt. 2 et 3. μουσῶν ὀργάνων fine καὶ, et deleto verbo ἐγεγόνει

23) κατὰ τὸν αὐτὸν) Ita leg. cum Vitt 2 et 3. Vulg. omittit αὐτὸν.

24) μυκήσ.) Vitt. 2 et 3. μιμήσασθαι, non apte.

25) ἐξελθ. φοβῆσαι) Vit. 1. et Ciz. ἐξελθοῦσα φοβεῖσθαι, non bene.

26) ἃ φησὶν) Vitt. 2 et 3. delent ἃ, non male.

27) δακρυούσ.) Art. τὰς edd. prior. fuftulit Seb. bene, fed Vit 1. et Ciz. pro τὰς habent τέ, et Vitt. 2 et 3. μέν. Reuocauimus τέ.

28) λείβ.) Noftri λειβηθρίαν.

29) μοι) Abeft a Ciz. et Vit. 1.

30) ἀλληγ.) Noftri ἀλληγορηθήσεται.

31) περὶ) Tollit Vit. 3.

32) τὸ λειβήθ.) H. e. ὄρος, fed Vitt. 2 et 3. τὸν λειβ. vt antea τὸν ἑλικῶνα.

276—78. Ὁ νεκροπέρνας] Ὁ Ἀχιλλεὺς ὁ πιπράσκων τοὺς νεκροὺς, ὅτι τὸν Ἕκτορα νεκρὸν ὄντα πέπρακεν. Ἐκ τοῦ πέρνημι δὲ τοῦτο γίνεται, ὁ ἐνεστὼς περνῶ, τὸ πιπράσκω, καὶ ἐξ αὐτοῦ πέρνημι, ὡς ἱστῶ ἵστημι [1]· ἡ μετοχὴ ὁ περνὰς [2]), ὡς ὁ ἱστάς. Ὅστις Ἀχιλλεὺς δεδοικὼς τὸν θάνατον καὶ γυναικεῖα ἐνδύσεται [3]), καὶ ἱστουργήσει ὡς γυνὴ, καὶ ὕστερος [4]) ἁπάντων τῶν Ἑλλήνων ἀποπηδήσει τῆς νεὼς εἰς τὴν γῆν τῶν Τρώων [5]) τὸ σὸν δόρυ δεδιώς. Ἱστορεῖται γὰρ τοῖς νεωτέροις, ὅτι Ἀχιλλεὺς ἀκούων [6]) τὸν Ἕκτορα ἀνδρεῖον καὶ φοβηθεὶς ὑπεκρίθη κόρη εἶναι καὶ ἐλθὼν ἐν Σκύρῳ [7]) ᾤκει μετὰ τῶν Λυκομήδους παίδων, ἔνθα καὶ τῇ Δηϊδαμείᾳ συνῆλθεν. Ὀδυσσεὺς δὲ σταλεὶς ὑπὸ [8]) Ἀγαμέμνονος ἀτράκτους καὶ ἠλακάτας, καὶ ὅσα τοιαῦτα γυναικεῖα ἐργαλεῖα, ἔτι [9]) δὲ καὶ ξίφη καὶ τόξα, καὶ ὀϊστοὺς [10]), ῥίψας πρὸ τοῦ παρθενῶνος τοῦ Λυκομήδους ἐπέγνω αὐτὸν καὶ τοῖς Ἕλλησιν ἤγαγεν· αἱ γὰρ γυναῖκες τὰ τῶν γυναικῶν ἐπελέγοντο, Ἀχιλλεὺς δὲ ξίφος [11]) λαβὼν ἐπειρᾶτο κινεῖν δεξιῶς, καὶ οὕτως ἠλέγχθη. Ἀλλὰ ταῦτα μὲν πέπλασται καὶ μεμυθολόγηται, τὸ δ' ἀληθὲς οὕτως ἔχει·

Ἄρτι λαβὼν πρὸς γάμον ὁ Ἀχιλλεὺς [12]) Δηϊδά-

1) *δὲ γίνεται — ἵστημι*) Absunt a nostris, quibus quoque assentitur Phauor. Ab alio glossatore videntur addita.

2) *ὁ περν.*) Nostri cum Seb. praeponunt art. sed *ὡς* ab eodem additum non agnoscunt, vti nec *ὁ ἱστάς*.

3) *ἐνδύσεται*) Sic legendum pro *ἐνδύσηται* cum nostris ob seq. *ἱστουργήσει*.

4) *ὕστερος*) Sic pro *ὕστερον* legendum cum Vitt. 1. 2. et Ciz. et Pott. Solus Vit. 3. *ὕστερον*.

5) *τῶν τρ.*) Vit. 1. et Ciz. tollunt.

6) *ἀκούων*) Ciz. *ἀκούσας*.

7) *σκύρῳ*) Vit. 3. *σκυθίᾳ*, perperam.

8) *ὑπὸ*) Vit. 1. et Ciz. *ὑπὸ τοῦ*.

9) *ἔτι*) Vit. 1. et Ciz. male *ἔστι*.

10) *ὀϊστοὺς*) Sic pro *ἰοὺς* Vitt. 2 et 3. cum Seb.

11) *ξίφος*) Sic pro *ξίφη* nostri, vt Seb.

12) *πρὸς — ὁ Ἀχιλ.*) Desunt in Vitt. 2 et 3.

μειαν τὴν θυγατέρα Λυκομήδους συνδιέτριβεν ἐν τοῖς θαλάμοις [13]) καὶ παρθενῶσι [14]) πόθῳ τῆς νεογάμου· ὅθεν ἐμυθεύσαντο, ὅτι γυναικεῖα ὑπέδυ. Ἀγγελίαν δὲ τὴν ἐκ στρατείας [15]) καταγγέλλοντος τοῦ Ὀδυσσέως προθύμως ὑπήκουσε, καὶ ἐξώρμησε πρὸς [16]) τὸν πόλεμον καίπερ μανθάνων ἀπὸ χρησμοῦ βραχυχρόνιος εἶναι, εἰ πρὸς τὴν [17]) Τροίαν ἐκπλεύσει. Ἣν ἀγγελίαν καὶ τὸν ἐκ χρησμοῦ φόβον εἰς ξίφη καὶ ἀτράκτους ἐξέθεντο [18]). ὅτι γὰρ οὐκ ἐδειλίασεν Ἀχιλλεὺς, ἀλλὰ καὶ προθύμως πρὸς τὸν πόλεμον ὥρμησεν, ὡς καὶ Ὅμηρος [19]) μαρτυρεῖ ἐν τῇ λ΄ Ῥαψῳδίᾳ τὸν Νέστορα παρεισάγων πρὸς τὸν Πάτροκλον λέγοντα·

> Νῶϊ δέ τ' ἔνδον ἐόντες ἐγὼ καὶ δῖος Ὀδυσσεὺς
> Πάντα μάλ' ἐν μεγάροις ἠκούομεν, ὡς ἐπέτελλε·
> Πηλῆος δ' ἱκόμεσθα δόμους εὖ ναιετάοντας
> Λαὸν ἀγείροντες [20]) κατ' Ἀχαιΐδα πουλυβότειραν [21]).

13) ἐν τοῖς θαλ.) Vit. 1. et Ciz. καὶ τοῖς θαλ.

14) καὶ παρθ.) Non apparent in Vitt. 2 et 3. qui quoque pro τῆς νεογάμου habent τοῦ νέου γάμου, vt edd. ante Pott. νεογαμίας.

15) τὴν ἐκ στρ.) Vit. 1. et Ciz. τῆς ἐκ στρ. non apte.

16) ἐξώρμ. πρὸς) Ciz. et Vit. 1. ἐξώρμησεν εἰς.

17) πρὸς τὴν) Vitt. 1. 3. et Ciz. bene delent τήν.

18) ἐξέθεντο) Vit. 1. et Ciz. ἐξέθετο, non apte.

19) ὡς καὶ Ὁμ.) Sic pro καὶ Ὁμηρ. Vitt. 2 et 3. Il. λ, 769. sqq. Sebast. hos verss. Homeri se emendasse et auxisse dicit. Sane auxit et emendauit ex Homero, vti iam aetas nostra eum habet; verum an recte fecerit, dubitamus, immo Tzetzam ipsum corrupisse credimus, qui modo vv. 766 et 769, vt ex omnibus Codd. Mss. patet, laudasse, et rei suae accommodasse videtur, reliquis ex industria omissis. Codd. Mss. vti edd. prior. incipiunt ἦλθον ἐγὼ pro νῶϊ δὲ — ἐόντες, ita vt appareat, Tzetzam vel scripsisse ἔνδον, a librariis deinde in ἦλθον corruptum, vel, neglectis Homeri ipsius verbis, vere dedisse e suis ἦλθον, vt sqq. haberent, ad quod referrentur.

20) ἀγείροντες) Vit. 3. ἐγείροντες, quam varietatem nemo editorum Homeri notauit: Vit. 1. et Ciz. ἐγείραν-

Καὶ μετ' ὀλίγον [22]) φησίν·

> Ἤρχον ἐγὼ μύθοιο κελεύων [23]) ὔμμ' ἅμ' ἕπεσθαι·
> Σφὼ [24]) δὲ μάλ' ἠθέλετον . . . .

Ταῦτα μὲν πάντα ἀλληγοροῦνται, ὁ δὲ βαρβαρόγλωσσος οὗτος Λυκόφρων μυθικωτέρως ἐκδέχεται. Διὸ καὶ φορτικώτερόν [25]) μοι δοκεῖ ἐν οὐκ ἀλληγορουμένοις, ὡς πολλάκις ἔφην, ἀλληγορεῖν.

279. Καὶ λοῖσθος ἐς γῆν] Εἶπον [1]) τὴν ἱστορίαν καὶ πάλιν ἐρῶ. Εἱμαρμένον ἦν [2]) τῷ τῆς νεὼς πρώτως [3]) ἀποβάντι ἀποθανεῖν, ὃ καὶ [4]) πέπονθεν ὁ Πρωτεσίλαος· διόπερ ὁ Ἀχιλλεὺς ὕστερον ἐξῆλθεν.

281 — 85. Ὦ δαῖμον] ὦ τύχη, ὦ εἱμαρμένη, ὁποῖον κίονα τῶν οἴκων ἀφανίσεις τὸ ἔρεισμα καὶ στήριγμα [5]) τῆς δυστυχοῦς πατρίδος καταβαλών [6]); Οὐ μὴν

τις, quae lectio iam in edd. Homeri vett. reperiebatur, cf. Heyne ad h. l. T. VI, p. 257.

21) πουλυβ.) Sic quoque Vitt. 2 et 3. ſed Vit. 1. et Ciz. vt ante Seb. καλλιγύναικα, quam lectionem ipſe Euſtath. cum aliis praefert alteri. Nonne inde Sebaſtianus magis corrupiſſe Tzetzam, quam emendaſſe, eique lectiones probas eripuiſſe intelligitur?

22) μετ' ὀλίγον) Pro μετ' ὀλίγα noſtri omnes. Scl. v. 780.

23) κελεύων) Vit. 3. λέγων, omiſſo etiam ἐγὼ, perperam.

24) σφὼ) Sic pro σφῶ Vitt. 2 et 3. recte, ſed Vit. 1. et Ciz. σφᾶς, male.

25) φορτικώτ.) Vit. 1. et Ciz. φορτικὸς, ſed Vitt. 2 et 3. φορτικὰ, et mox δοκοῦντα pro δοκεῖ.

1) εἶπον) Ciz. et Vit. 1. εἰπών.

2) εἱμαρ. ἦν) A Seb. receptum confirmant Vitt. 2 et 3. ſed Vit. 1. et Ciz. retinent vulg. εἵμαρτο.

3) πρώτως) Vitt. 2 et 3. apponunt ἀποβάντι, recte: vulg. τῷ πρώτῳ — ἀποβάντι.

4) ὃ καὶ) Vit. 1. et Ciz. ὅπερ, et mox διὸ pro διόπερ.

5) καὶ στήριγ.) Delent Vitt. 2 et 3.

6) καταβαλών) Thryllit. quid ἐρώτησις? Ciz. et Vit. 1. delent. Aptior videtur exclamatio.

ἄνευ βλάβης καὶ τιμωρίας, οὐδὲ χωρὶς πόνων καὶ κόπων πικρῶν καὶ πένθους ὁ ληστὴς Ἑλληνικὸς γελάσει στρατὸς ἐπαγαλλόμενος τῷ θανάτῳ τοῦ πεπτωκότος Ἕκτορος. Κίονα δὲ καλεῖ τὸν Ἕκτορα 7), ὡς καὶ Πίνδαρος λέγει·

> Ὃς 8) Ἕκτορ' ἔσφαλε Τροίας
> Ἄμαχον ἀστραβῆ κίο-
> να.

Κίονα δὲ καλεῖ τὸν Ἕκτορα ὡς μὴ μόνον τὸν Πριάμου οἶκον συνέχοντα 9) καὶ βαστάζοντα τῇ ἑαυτοῦ δυνάμει, ἀλλὰ καὶ πᾶσαν τὴν Τροίαν.

Ὦ δαῖμον 10)] Ὁ στίχος οὗτος ἐν τετάρτῃ χώρᾳ πόδα ἀνάπαιστον ἔχει καὶ καλεῖται ἰαμβικὸς τραγικός.

Ex 284. Δωριεὺς στρατὸς] ὁ Ἑλληνικὸς, ἀπὸ Δώρου τοῦ Ἕλληνος παιδὸς, ὥς φησιν Ἡσίοδος 11) ἐν τῇ Ἡρωϊκῇ γενεαλογίᾳ·

> Ἕλληνος δ' ἐγένοντο θεμιστοπόλου βασιλῆος 12)
> Δῶρός 13) τε Ξοῦθός τε καὶ Αἴολος ἱππιοχάρμης.
> Αἰολίδαι 14) δ' ἐγένοντο θεμιστοπόλοι βασιλῆες·
> Κρηθεὺς ἠδ' Ἀθάμας καὶ Σίσυφος αἰολομήτης,
> Σαλμωνεύς 15) τ' ἄδικος καὶ ὑπέρθυμος Περιήρης.

7) κίονα — ἕκτορα) Ciz. et Vit. 1. habent, ſed in Vitt. 2 et 3. deſunt, vti ſqq. ὡς καὶ πίνδαρος (Ol. II, 145.) — τὸν ἕκτορα in Codd. noſtris omnibus.

8) ὅς) In edd. prior. τίς γάρ.

9) συνέχ.) Vit. 1. et Ciz. ἔχοντα, ſed quae ſequuntur καὶ βαστ. — αὐτοῦ, a noſtris Codd. abſunt.

10) ὦ δαῖμ.) Vit. 3. ὦ δαίμων.

11) Ἡσίοδος) In Fragm. ed. Lipſ. p. 443.

12) ἕλληνος — βασιλῆος) Sic noſtri omnes pro ἕλληνες — θεμιστοπόλοι βασιλῆες. cf. Heyne in Obſeru. ad Apollod. p. 40.

13) Δῶρος) Vit. 1. et Ciz. Δοῦρος, et mox cum Vitt. 2 et 3. αἰόλος pro αἴολος.

14) αἰολίδαι) Vit. 1. et Ciz. αἰολίδου, et mox quoque θεμιστοπόλου βασιλῆος, ſed Vitt. 2 et 3. vt Seb. et ed. Lipſ.

15) σαλμωνεύς) Hic verſus, qui in edd. prior. ſecundum obtinebat locum, a Seb. vltimo poſitus, a noſtris quoque hic recte ponitur, nam Salmoneus,

286. Πρύμναις [1])] ταῖς ναυσί. Πρύμνη δὲ τὸ ἔσχατον καὶ ὀπίσθιον μέρος τῆς νεὼς [2]) παρὰ τὸ εἰς πέρας καὶ τελευταῖον μέρος μένειν. Πρώρα δὲ τὸ ἐμπρόσθιον παρὰ τὸ πρώτως τοῦ ῥέοντος, ἤτοι τοῦ ὕδατος ἅπτεσθαι.

287. Πεύκαις] ταῖς ναυσὶν, ἀπὸ τοῦ ποιοῦντος τὸ ποιηθέν. Τὸ δὲ ἑξῆς οὕτως· Οὐ μὴν Ἕκτωρ δωρεὰν ἀποθανεῖται, καὶ οἱ Ἕλληνες τῷ θανάτῳ αὐτοῦ [3]) γελάσουσιν [4]) ἄνευ προστίμου καὶ τιμωρίας [5]), ἀλλὰ φυγόντες περὶ τὰ πλοῖα αὐτῶν συμφλεχθήσονται ταῖς ναυσί. Μεταφράζει δὲ τὴν παρ' Ὁμήρῳ [6]) Ἑλληνικὴν ναυμαχίαν, ἐν ᾗ φαίνεται ὁ Ἕκτωρ διώξας τοὺς Ἕλληνας καὶ κατακαύσας [7]) τὴν ναῦν τὴν τοῦ [8]) Πρωτεσιλάου.

288 — 89. Καλῶν ἐπ' εὐχαῖς] καλῶν ἐπ' εὐχαῖς πλεῖστα [1]) τὸν φυγῆς αἴτιον αὐτοῖς γενόμενον [2]) Δία πορθουμένοις αὐτοῖς ὑπὸ τῶν Τρώων ἀποδιῶξαι τὸν θάνατον. Ἢ καλῶν Δία Φύξιον [3]) τὸν δυνάμενον ποιῆσαι φυγεῖν τὸν κίνδυνον. Φύξιος δὲ ὁ Ζεὺς καὶ Φίλιος καὶ Ἑταιρεῖος [4]) καὶ Ὁμόγνιος καὶ Ἐφέστιος καὶ ἄλλα μυρία καλεῖται [5]), γάμους δὲ πάλιν ποιῶν γαμήλιος, καὶ

quod debemus Thryllitzſchio, erat filius Aeoli, vid. Diod. Sic. IV, p. 177. et Siebelis in Symbol. Critt. ad Hellenic. p. 117.

1) πρύμναις) Ordo verborum a Seb. immutatus in noſtris non mutatur, qui exhibent: πρύμναις πεύκαις] πεύκαις, ταῖς ναυσὶν, ἀπὸ τοῦ ποιοῦντος τὸ ποιηθέν.

2) νεὼς) Noſtri νηός.

3) αὐτοῦ) Noſtri cum Seb. inſerunt.

4) γελάσ.) Sic Vitt. 2 et 3. ſed Vit. 1. et Ciz. vt edd. vett. γελάσωσιν.

5) ἄνευ — τιμωρίας) Abſunt a noſtris.

6) Ὁμήρῳ) Il. ο, 704.

7) κατακ.) Noſtri καύσας.

8) τὴν τοῦ) Sic pro τοῦ Vit. 3. recte.

1) πλεῖστα) Vit. 1. et Ciz. πλεῖστον.

2) αὐτοῖς γεν.) Ciz. et Vit. 1. αὐτῶν γινομ.

3) Φύξιον) Cf. Sturz. ad Pherecyd. p. 172.

4) Ἑταιρεῖος) Vitt. 2 et 3. Ἑτερεῖος, perperam.

5) μυρία καλεῖται) Auctoritate Vitt. 2 et 3. verba γάμους δὲ πάλιν ποιῶν (absque

ἁπλῶς πρὸς τὰ συμβαίνοντα καὶ γινόμενα [6]) μετονομαζόμενος· Φεύγων γάρ τις Φύξιον Δία ἐπικαλεῖται, συμβουλευόμενος [7]) δέ τις Βουλαῖον, καὶ τἄλλα [8]) ὁμοίως.

290 — 92. Τότ' οὔτε τάφρος] τότε οὐ βοηθήσουσι τοῖς Ἕλλησιν οὔτε ἡ τάφρος [1]) καὶ τὸ ὄρυγμα οὔτε τῶν νεῶν τὰ προπύργια καὶ ἡ ἐν σταυροῖς καὶ σταυάροις [2]) τοῖς πεπηγμένοις ἐκεῖθεν τῆς τάφρου πτέρυξ καὶ τὸ περιπέτασμα [3]) τὸ δίκην κορσιων [4]) επέχον [5]) ἐν τῇ τάφρῳ, ἢ τὸ δίκην κροσσοῦ [6]) καὶ κλίμακες, τοῦτ' ἔστι τὸ κλιμακηδὸν πεπηγμένον, οὔτε τὰ γεῖσα [7]) καὶ αἱ στεφάναι, ἤτοι οἱ κοσμῖται [8]) ἀλλ' οὐδ' αἱ ἐπάλξεις ἤτοι αἱ στάσεις τῶν πύργων, ἐν αἷς ἵσταντο [9]) οἱ πολεμισταί, ὧν ἄνωθέν εἰσιν αἱ ἐριπναί, ἤτοι οἱ προμαχῶνες καὶ τὰ διεστηκότα τοῦ τείχους καὶ οἷον εἰπεῖν οἱ ὀδόντες. Ταῦτα πάντα τότε [10]) οὐκ ὠφελήσουσι τοῖς Ἕλλησι παρὰ

τὶς) γαμήλιος (sic, non γαμήλιον Δία) καὶ ἁπλῶς πρὸς τὰ συμβ. infra alieno loco posita huc retraximus.

6) γινόμ.) Vitt. 2 et 3. γενόμενα.

7) συμβουλ.) Vitt. 2 et 3. συμβουλευσάμενος.

8) τἄλλα) Sic Vit. 1. et Ciz. sed Vitt. 2 et 3. τὰ ἄλλα.

1) ἡ τάφρος) Pro ὁ τάφρος Vitt. 1. 2. et Ciz. recte: sic etiam paullo post ἐν τῇ τάφρῳ.

2) σταυρ. — σταυάροις) Vit. 1. et Ciz. σταβροῖς καὶ σταβάροις, ex permutatione litterarum υ et β in Mss. In Gloss. Du Fresne dicc. quoque στάβαρα pro σταύαρα. Io. Tzetz. in Antehom. v. 262. et in scholiis σταβάραις pro σταβάροις: forte ibi quoque legendum σταβάροις. cf. Iacobs ad h. l.

3) περιπέτ.) Nostri παραπέτασμα.

4) κορσίων) Vit. 1. et Ciz. κροσσίων.

5) ἐπέχ.) Vitt. 2 et 3. ἐπέσχον.

6) κροσσοῦ) Vit. 1. et Ciz. κροσίου.

7) γεῖσα) Nostri γεῖσσα.

8) οἱ κοσμῖται) Vitt. 2. αἱ κοσμίται: Vit. 3. οἱ κοσμηταί, perperam. cf. Du Fresne Glossar.

9) ἵσταντο) Nostri ἵστανται.

10) τότε) Delent Ciz. et Vit. 1.

τὰς [11]) ναῦς διωχθεῖσιν ὑπὸ τοῦ Ἕκτορος. Ὅτι δὲ ἔκτισαν τοῦτο τὸ τεῖχος οἱ Ἕλληνες, ὃ λέγει ὁ Λυκόφρων νῦν μὴ ὠφελῆσαι αὐτοῖς [12]), Ὅμηρος διδάσκει ἐν τῇ θ´ Ῥαψῳδίᾳ τὴν κτίσιν αὐτοῦ, ἐν δὲ τῇ μ´ [13]) τὴν νῦν ναυμαχίαν φησὶ καὶ τὴν τούτου κατάλυσιν.

Ἄλλως [14])· Πτέρυγα εἶπε τοῦ τείχους τὴν παράστασιν τῆς οἰκοδομῆς, οἷον τὴν ὑψηλὴν, παρὰ τὸ κορύσσεσθαι καὶ ἐγείρεσθαι. Τὸ δὲ·

Κρόσσας μὲν πύργων ἔρυον . . .

οὐ κλίμακας οἶδεν, οὐδὲ λέγει, ὅτι κατέλαβον τὰς κλίμακας· ἀλλ᾽ ἦσάν τινες ξύλινοι ὑπότροχοι κλίμακας ἔχουσαι ἄνω, πρόμαχοι, ἐφ᾽ αἷς οἱ πολέμιοι ἐφεστῶτες ἐμάχοντο τοῖς ἐπὶ τοῦ τείχους. Ἔστι γοῦν οὕτως· τὰς κρόσσας ἐπὶ τοῦ τείχους ἔρυον καὶ κατέβαλον τὰς ἐπάλξεις.

Σταυροῖς] ἡ ἑκατέρωθεν οἰκοδομὴ τοῦ τείχους ὀρθοῖς ξύλοις διειλημμένη, ἅπερ σταυροὺς κέκληκε διὰ τὴν στάσιν. Ἢ αὐτὸ τὸ τεῖχος διὰ τὸ πλάτος.

293 — 94. Ἀλλ᾽ ὡς μέλισσαι] δίκην δὲ μελισσῶν καπνῷ ἐσκοτισμένων καὶ βολαῖς κορμῶν, οὕτω καὶ οὗτοι ὑφ᾽ Ἕκτορος πτοηθέντες [15]), πηδῶντες εἰς τὴν ξένην γῆν ἐκ τῶν καθεδρῶν καὶ πρύμνας καὶ πρώρας τῶν

11) παρὰ τὰς) Vitt. 2 et 3. περὶ τὰς.

12) λέγει — αὐτοῖς) Pro μὴ ὠφελῆσαι δυνάμενον αὐτοῖς, ὁ λυκόφρων λέγει νῦν, e nostris restituimus. Vti mox Ὅμηρος διδάσκει praemisimus ope Codd. nostrorum τοῖς. ἐν τῇ — Ῥαψῳδίᾳ, abiecto etiam αὐτοῦ, quod nostri ignorant.

13) ἐν δὲ τῇ μ´) Vitt. 2 et 3. ἐν δὲ τῇ τοῦ μ´ ῥαψῳδίᾳ.

14) Ἄλλως — usque ad διὰ τὸ πλάτος a nostris absunt. Ab alio videntur addita, nam fere repetunt antea dicta.

15) πτοηθέντες) Sic nostri, rectissime, nam neque πραθέντες edd. prior. neque καυθέντες Sebast. aptum est viciniae verborum.

νεῶν καὶ τὴν Τρωϊκὴν γῆν μολυνοῦσι [16]) τῷ αὐτῶν αἵματι ἐν τῷ πηδᾶν ὁμοιούμενοι ὀρχησταῖς [17]).

295. Ἄφλαστα [1]) καὶ κόρυμβα] Ἄφλαστα καλεῖται τὰ τῆς νεὼς ἄκρα κατ' εὐφημισμὸν τὰ εὔφλαστα. Καὶ κόρυμβα τὸ αὐτὸ δηλοῦσι. Διαφέρουσι δὲ, ὅτι τὰ μὲν ἄφλαστα πρυμνήσια, τὰ δὲ κόρυμβα πρωρήσια.

298 — 301. Πολλοὺς δ' ἀριστεῖς] εὐγενεῖς Ἕλληνας τοὺς λαμβάνοντας [2]) πρωτόλεια. ἤτοι τὰ πρώτιστα τῆς λείας, καὶ πρώτην αἰχμαλωσίαν. καὶ πρόκουρσα [3]) ἐκ τῆς Ἑλλάδος φέροντας ἐν τῷ ἑαυτῶν δόρατι καὶ τῇ ἀνδρείᾳ καὶ ταῖς σποραῖς καὶ εὐγενείᾳ ὑψουμένους αἱ σαὶ χεῖρες, ἤτοι σὺ καταξανεῖς καὶ ἀνελεῖς. Λέγει [4]) δὲ τὸν Ἕκτορα, διὰ τὸ ἀνελεῖν τὸν Πάτροκλον καὶ Πηνέλεων καὶ Ἀσκάλαφον καὶ Ἀρκέσιλαον καὶ λοιπούς. Πρωτόλεια δέ εἰσι τὰ τῆς λείας καὶ τῶν λαφύρων τοῦ πολέμου πρώτιστα καὶ ἐξαίρετα [5]) ἅπερ εἰώθασιν οἱ ἄριστοι λαμβάνειν [6]), ὡς Ἀγαμέμνων τὴν Χρυσηΐδα

16) μολ.) Vit. 1. et Ciz. μολύνουσι.

17) ὀρχηστ.) Vitt. 2 et 3. ὀρχηστῆσι.

1) ἄφλαστα — πρωρήσια) Totum hoc ſchol. non reperitur in noſtris.

2) τοὺς λαμ.) Noſtri delent art. τοὺς, vti mox verba ſqq. ἤτοι τὰ πρώτ. τῆς λείας.

3) πρόκουρσα — αἱ σαὶ χεῖρες) Vitt. 2 et 3. προκόπτουσαι ἐν τῷ ἑαυτῶν δορὶ αἱ σαὶ χεῖρες, reliquis praetermiſſis. Vit. 1. et Ciz. quidem legunt πρόκουρσα, ſed reliqua etiam omittunt. δορὶ pro δόρατι habent omnes.

4) λέγει δὲ — λοιπούς) In noſtris non hic apparent, ſed ad extrem. ſcholii poſt voc. τέκμησσαν, atque ſic ſe habent: πολλοὺς ἀριστεῖς] τὸν ἕκτορα λέγει ἀνελεῖν, διὰ πάτροκλον — καὶ λοιπούς: Vit. 3. τὸν ἕκτ. λέγει διὰ τὸν ἀνελεῖν — λοιπούς: atque ſic dedimus pro: λέγει δὲ τοὺς περὶ πάτρ. — καὶ τοὺς λοιπούς.

5) τὰ τῆς — ἐξαίρετα) Noſtri ſic: τὰ τῆς λείας πρῶτα καὶ τῶν λαφύρων, reliquis omiſſis.

6) ἅπερ — λαμβάνειν) Noſtri ἃ οἱ ἀριστεῖς λαμβάνουσιν.

Ἀστυνόμην, Ἀχιλλεὺς δὲ τὴν Βρισηΐδα Ἱπποδάμειαν, Αἴας δὲ τὴν Τέκμησσαν.

Καταξανοῦσιν] ἀναιρήσουσιν 7).

302 — 6. Ἐγὼ δὲ πένθος] ἐγὼ δὲ 1) λυπηθήσομαι 2), φησὶν, οὐ μικρῶς δι' αἰῶνος καὶ αἰωνίως τὴν σὴν ταφὴν καὶ τὸν σὸν 3) θάνατον στενάζουσα. αἰὼν δὲ λέγεται καὶ ὁ χρόνος τῆς ἑκάστου ζωῆς, ἀθλίαν 4) γὰρ ὄψομαι, φησὶν 5), ἐκείνην τὴν τῆς σῆς τελευτῆς 6) ἡμέραν, καὶ ὕψιστον ὑπερέχουσαν 7) τῶν θλίψεων, ὧντινων θλίψεων κράντης καὶ τελειωτὴς χρόνος 8) αὐδηθήσεται· νῦν ἀντὶ τοῦ λέγεται ὁ χρόνος ὁ ἑλίσσων καὶ συστρέφων καὶ πληρῶν τὸν κύκλον αὐτοῦ διὰ τῆς σεληναίας 9) κινήσεως καὶ περιφορᾶς· ἐπειδὴ οἱ παλαιοὶ κατὰ σελήνην τοὺς μῆνας ἐψήφιζον, διὰ δὲ 10) τῶν μηνῶν ὁ χρόνος ἀπαρτίζεται.

7) καταξ. ἀναιρησ.) In nostris non reperitur.

1) ἐγὼ δὲ) A Seb. additum nostri comprobant.

2) λυπηθήσ.) Vitt. 2 et 3. λυπήσομαι, sed φησὶν et δι' αἰῶνος καὶ, a Seb. suppleta, nostri non agnoscunt.

3) σὸν) Deest in nostris, vt in edd. ante Seb.

4) ἀθλίαν) Vit. 1. et Ciz. ἀθλίως, vt edd. ante Pott.

5) φησὶν) A Seb. additum nostri non addunt.

6) τελευτῆς) Vit. 1. et Ciz. ζωῆς: Vitt. 2 et 3. ταφῆς. Thryllit. putat, in archetypo olim defuisse nomen, idque librarios pro lubitu suppleſſe.

7) ὕψιστ. ὑπερ.) Delendum est interiectum καὶ auctoritate Vitt. 2 et 3. Locum tamen habere potest καὶ, si e Lycophrone post ὕψιστον additur πημάτων. καὶ, id est.

8) χρόνος) Hic inserendum videtur e Vitt. 2 et 3. et postea verba νῦν ἀντὶ — λέγεται, a Seb. inclusa vncis, iterum sunt recludenda, nam referuntur ad sqq.

9) τῆς σελ.) Art. τῆς a Seb. praepositus a nostris etiam praeponitur.

10) διὰ δὲ) Vitt. 2 et 3. καὶ διὰ. χρόνος autem h. l. vt ad v. 175. est annus, non vero tempus, vt Seb. perperam interpretatur.

307 — 13. Αἴ, αἴ, στενάζω [1])] Ἡ σύνταξις οὕτω· Φεῦ, φεῦ, στενάζω καὶ θρηνῶ καὶ σὸν εὔγλαγον θάλος, καὶ τὴν σὴν θαλερὰν ἀνατροφὴν καὶ ἡλικίαν, ὦ σκύμνε καὶ ὦ Τρώϊλε (μεταφορικῶς), ὦ ἀγκάλισμα, καὶ ὦ περιπλοκὴ, καὶ παρηγόρημα τερπνὸν τῶν συγγόνων καὶ τῶν ἀδελφῶν, ὃς καὶ ὅστις Τρώϊλος, βαλὼν ἐν τῇ πυρφόρῳ ἴϋγγι τῶν ἐρωτικῶν τόξων τὸν ἄγριον δράκοντα, ἤγουν τὸν Ἀχιλλέα, καὶ μάρψας καὶ καταλαβὼν τὸν τυπέντα, τοῦτ' ἔστι τὸν Ἀχιλλέα, ἐν τοῖς ἀφύκτοις βρόχοις τοῦ ἔρωτος βαιὸν καὶ μικρὸν καὶ ἀστεγῆ χρόνον, αὐτὸς καὶ ἐκεῖνος ὁ Τρώϊλος ὁ τετρωμένος [2]) πρὸς τοῦ δαμέντος καὶ τρωθέντος τοῦ Ἀχιλλέως καρατομηθεὶς τύμβον καὶ βωμὸν τοῦ πατρὸς Ἀπόλλωνος αἱμάξεις.

Αἴ, αἴ, στενάζω] Φεῦ, φεῦ, στενάζω, καὶ θρηνῶ [3]), καὶ τὴν σὴν θαλερὰν καὶ εὐανάτροφον [4]) ἡλικίαν, ὦ ἀδελφέ μου Τρώϊλε, ὦ σκύμνε καὶ βασιλικώτατον [5]) γέννημα, τερπνὴ περιπλοκὴ τῶν ἀδελφῶν.

Ὅστ' ἄγριον [6])] ὃς τρώσας τὸν Ἀχιλλέα τῷ ἐρωτικῷ τοῦ κάλλους σου βέλει, ἤτοι θέλξας αὐτὸν, ὥστε ἐρασθῆναί σου· σὺ δὲ μὴ ἐρασθεὶς [7]) αὐτοῦ, καρατομηθεὶς

1) αἴ, αἴ, στενάζω usque ad αἱμάξεις) Hoc ſchol. a Seb. e Cod. Vat. adiectum noſtri Codd. cum edd. prior. non exhibent. Sequens Schol. eadem fere continet.

2) ὁ τετρωμένος) Haud dubie legendum, vt textus Lycophronis ſuadet, οὐ τετρωμένος, ſcl. amore. Hinc non, vt Seb. opinatur in nott. interpretationi lat. ſubiectis, ſcholiaſtes a textu aberrauit, omiſſa particula negatiua.

3) καὶ θρηνῶ) A Seb. inſertum abeſt a noſtris.

4) εὐανάτρ.) Vit. 2. vt ſchol. interl. ἀνάτροφον.

5) βασιλικ.) Vit. 1. et Ciz. βασιλικώτερον.

6) ὅστ' ἄγριον) Haec verba Lycophronis e Vitt. 2 et 3. praemittenda ſunt τοῖς· ὃς τρώσας, et a ſuperioribus ſeiungenda.

7) μὴ ἐρασθ.) Sic quoque Vit. 1. et Ciz. verum Vitt. 2 et 3. perperam negligunt part. μή.

καὶ ἐκτμηθεὶς 8) τὴν κεφαλὴν ἐν τῷ τύμβῳ καὶ ναῷ τοῦ Ἀπόλλωνος ὑπὸ 9) τοῦ ἐρασθέντος σου Ἀχιλλέως καὶ ἐν τῇ καρατομίᾳ 10) αἱμάξεις τὸν ναόν. Φασὶ γὰρ, ὅτι Ἀχιλλεὺς ἐρασθεὶς Τρωΐλου τοῦ παιδὸς Ἑκάβης καὶ Πριάμου ἐν λόγοις, ἔργῳ δὲ Ἀπόλλωνος 11), ἐδίωκεν αὐτὸν, καὶ διώκων 12) ἔμελλε καταλαμβάνειν αὐτὸν, προσφυγόντα δὲ τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ναῷ 13) Ἀχιλλεὺς ἐβίαζεν αὐτὸν ἐξελθεῖν. Ὡς δὲ οὐκ ἔπειθε, προσελθὼν ἀνεῖλεν αὐτὸν ἐν τῷ βωμῷ, ᾧ, φασὶ 14), καὶ τιμωρῶν ὁ Ἀπόλλων αὐτόθι παρεσκεύασεν ἀναιρεθῆναι τὸν Ἀχιλλέα. Καὶ οὕτω μὲν οὗτοι 15) ληροῦσι περὶ Τρωΐλου 16), ἐγὼ δὲ 17) τοῦτον τὸν Τρωΐλον καὶ βαθεῖαν ἔχοντα τὴν ὑπήνην, καὶ μελάγχρουν 18) ἐπί-

8) *καρατ. καὶ ἐκτμ.*) Vit. 1. et Ciz. *καρατομηθῆναι καὶ τμηθῆναι*: Vit. 2. delet *καὶ ἐκτμηθείς*.

9) *ὑπὸ*) Vit. 3. *ὑπὸ*, perperam, ſed poſtea cum reliquis, quibus vſi ſumus, Codd. inſerunt *σου* poſt *ἐρασθέντος*, recte.

10) *ἐν τῇ καρατ.*) Vit. 1. et Ciz. *ἐν καρατόμῳ σου*: Vit. 2. *ἐν καρατόμῳ*: Vit. 3. *ἐν τῷ καρατομεῖσθαί σε*, optime.

11) *ἔργῳ δὲ Ἀπόλλ.*) A Seb. ſublatum *παιδὸς* tollunt quoque Vitt. 2 et 3. cum Eudocia p. 404.

12) *καὶ διώκων*) Sic omnino legendum pro *καὶ διώκον αὐτὸν*, auctoritate Vit. 1. et Ciz. *Ἐδίωκεν αὐτὸν* Vitt. 2 et 3. quoque cum Eudocia, omiſſis tamen *διώκων* et *ἔμελλε καταλ. αὐτόν*.

13) *βωμῷ*) Vit. 1. et Ciz. *ναῷ*.

14) *ᾧ, φασὶ*) Noſtri cum Eudocia *ὃν φασι*, deleto tamen poſtea *τὸν Ἀχιλλέα*. Vulgata vero recte ſe habet, nam *ᾧ* refertur ad *τιμωρῶν*, ita vt ſenſus exeat: *cui* (Troilo) *opitulans*, ſ. *quem vlturus Apollo effecit, vt Achilles in illo templo interficeretur.*

15) *καὶ οὕτω μὲν οὗτοι*) Sic Vit. 1. et Ciz. ſed Vitt. 2 et 3. cum Eudocia *οὕτω μέν τινες*.

16) *τρωΐλου*) Noſtri cum Eudoc. *τοῦ τρ.*

17) *ἐγὼ δὲ*) Eudoc. *οἱ δὲ ἀκριβέστερον — ἱστοροῦσι*. Tzetza hoc ſibi vindicat, quod eſt aliorum mythographorum eorumque accuratiorum.

18) *ὑπήνην, καὶ μελ.*) Io. Tzetz. in Poſthom. v. 383. *δασυπώγων, μελάνοχρως*, cff.

σταμαι. Οὐκ οἶδα δὲ, εἰ ὁ Θετταλὸς Ἀχιλλεὺς οὕτως ἐρωτικὸς ἦν, ὡς καὶ βαθυγενείου καὶ γεραιτέρου [19]) πολὺ τούτου ἐρᾷν, νέος μὲν γὰρ ἦν [20]) ὁ Τρώϊλος καὶ ὡραῖος, μελάγχρους δὲ καὶ δασυγένειος, καὶ Ἀχιλλέως ἐρώτων ἀνάξιος. Μετὰ δὲ τὴν ἀναίρεσιν Μέμνονος ἐξελθὼν ἐκ τῆς Τροίας συμβάλλει [21]) τῷ Ἀχιλλεῖ καὶ ἀναιρεῖται

ibi Iacobs, et Heyne Excurſ. XVII. ad Virg. Aen. I.

19) *βαθυγ. καὶ γερ.*) Haec verba Seb. vti dicit, ſingulariter efferre maluit, ſed noſtri in numero plurali *βαθυγενείων κ. γεραιτέρων*, vt edd. prior. haec verba non ad ipſum Troilum, ſed ad omnes alios referentes barbatos. *Τούτου* vero omnes exhibent pro *τούτων*, bene, ſcl. *qui longe prouectiores eſſent aetate Troilo*, quod ſqq. bene conuenire videtur. Eudocia tamen, omiſſis *βαθυγ. καὶ γερ. πολὺ*, modo exhibet *τοιούτων*, quae lectio videtur aptiſſima.

20) *ἦν.*) Vit. 1. et Ciz. delent cum edd. principibus *οὐκ*, recte, nam optime cadit in Troilum ab omnibus aliis vt iuuenem laudatum: is adeo a Io. Tzetza in Poſthom. v. 360. *ἄνθει ἥβης* fuiſſe traditur. cf. Iacobs ad Tzetz. Poſthom. v. 383. Hinc quoque ſtultitiae non videtur accuſari poſſe Tzetzes, cuius ab Heynio in Excurſ. XVII. ad Virg. Aen. I. accuſatur, quod Troilum magnum iam natu fuiſſe ſponſione certauerit; ſocordia potius librariorum, vel *μετεωρία* Canteri, qui non h. l. ſed in Nou. Lectt. 2, 9. et poſt eum Potterus *οὐκ* textui obtrudere ſunt conati, eſt reprehendenda. Barbatus ſane poteſt aliquis eſſe, et tamen venuſtus quoque ac iuuenis. Vicinia quoque reliquorum verborum non repugnat, immo ob oppoſita *μὲν* et *δὲ* fauet huic lectioni, ſi modo explicentur: *Troilus erat quidem venuſtus et adoleſcens, colore tamen nigro et barbatus, ideoque amore Achillis non omnino dignus.* Neque vero obſtat verbum, quod praecedit, *γεραιτέρων*, ſi aliter lectio eſt vera, quum non bene reſpondeat *τῷ μελάγχρ.* vti *βαθυγ. τῷ ὑπήνην*, nam ad dignitatem magis, quam ad aetatem pertinere videtur. Vitt. 2 et 3. cum Eudoc. tuentur *οὐκ*, verum hi ſunt longe minoris auctoritatis, quam Vit. 1. et Ciz.

21) *συμβ.*) Vitt. 1. 2. et Ciz. *συμβάλει*, male.

ὑπ᾽ αὐτοῦ καὶ ἐγένετο δι᾽ αὐτὸν ἐν τῇ Τροίᾳ πένθος πολὺ, οἷον ἐφ᾽ Ἕκτορι [22]).

Ex 309 — 10. Πυρφόρῳ ἴϋγγι τόξων] νῦν ἀντὶ τοῦ πυρφόρῳ βέλει· λέγει δὲ τοῦ Τρωΐλου [1]) τῷ ἔρωτι. Ἴϋγξ δὲ κυρίως ὄρνεόν ἐστιν ἀεὶ σεῖον [2]) τὴν οὐρὰν, ἀγωγὸν ἐρώτων. Ἔστι δὲ ποικίλον τῇ τριχώσει, μακροτράχηλον, γλῶσσαν ἔχον ἐπιπολὺ [3]) ἐκτεταμένην, πυκνῶς περιστρεφόμενον καὶ περιδινοῦν τὸν τράχηλον, ταῖς φαρμακίσι χρήσιμον εἰς ἐρωτικὰς ἐπῳδάς· λαμβάνουσαι γὰρ αὐτὸ δεσμοῦσιν ἔκ τινος τροχοῦ, ὃν περιρομβοῦσιν ἅμα ἐπᾴδουσαι [4]). Ἄλλοι δέ φασιν, ὅτι κηρίνῳ τροχῷ συντήκουσιν αὐτὸ [5]) ἐπ᾽ ἀνθράκων. Οἱ δέ φασιν, ὅτι τὰ [6]) ἔντερα αὐτοῦ ἐξελκύσασαι περιάπτουσι [7]) τῷ τροχῷ. Ταύτην οὖν, φασὶ, τὴν ἴϋγγα πρώτη Ἀφροδίτη Ἰάσονι δοῦσα ἐδίδαξε αὐτὸν ταύτας τὰς ἐπῳδὰς [8]), ὅπως Μήδειαν θέλξῃ [9]). Λέγουσι [10]) δὲ, ὅτι αὕτη ἡ Ἴϋγξ γυνὴ

22) ἐφ᾽ ἕκτορι). Vit. 1. et Ciz. ὑφ᾽ ἕκτορος, vt Eudocia: Vitt. 2 et 3. ὑφ᾽ ἕκτορι, male. Io. Tzetz. in Posthom. v. 359:

ὡς πένθος Τρώεσσιν ἐπ᾽ ἶσον Ἕκτορι θῆκεν.

1) τοῦ τρωΐλου) A Seb. additum nostri non agnoscunt.

2) σεῖον) Vit. 2. perperam σείον. *Hanc de Iynge* ῥῆσιν *totam contraxit Niceph. Gregoras ad Synes. p.* 360. Thryll. cf. quoque Io. Tzetz. in Chil. XI, 380. sqq.

3) ἐπιπολὺ) Nostri ἐπὶ πολύ.

4) ὃν περιρ. — ἐπᾴδ.) Vitt. 2 et 3. ὅνπερ ῥομβοῦσιν ἅμα σπεύδουσαι. Vit. 1. et Ciz. ὃν περιβομβοῦσι ἅμα ἐπᾴδ. non bene.

5) αὐτὸ) Vit. 2. αὐτὸν.

6) φασιν, ὅτι τὰ) Vitt. 2 et 3. φασὶν τὰ, omissa part. ὅτι, et mox ἐξελκύουσαι pro ἐξελκύσασαι.

7) περιάπτ.) Vit. 1. et Ciz. περιάπτουσαι, perperam: Vit. 2. περιπίπτουσι.

8) ταύτας τὰς ἐπῳδ.) Sic pro ταῦτα Vit. 1. et Ciz. bene. αὐτὸν vero a Seb. insertum nostri non inserunt. Habet αὐτὸν schol. Pind. IV, 380, vbi eadem traduntur, haud dubie ipso If. Tzetza auctore.

9) θέλξῃ) Sic etiam Vitt. 2 et 3. sed Vit. 1. et Ciz. plane aliter: ἐκμήνας ποιήσῃ

ἦν πρότερον θυγάτηρ Πειθοῦς, ἢ Ἠχοῦς καὶ Πανός. Φαρμακεύουσα δὲ τὸν Δία εἰς τὸν Ἰοῦς [11]) πόθον ὑφ' Ἥρας διωκομένη [12]) ἀπωρνεώθη. Ἄλλοι κιθάραν [13]) πάνυ ἐμμελῆ φασὶν εἶναι τὴν ἴϋγγα, ὅθεν πᾶν ποθεινὸν ἴϋγξ καλεῖται.

314 — 22. Οἴμοι δυσαίων] Φεῦ μοι ἡ δυσαίων [1]) καὶ δυστυχής, καὶ τὸν σὸν θάνατον, ὦ τάλαινα σκύλαξ [2]) Ἑκάβη, θρηνῶ καὶ τὰς δύο ἀηδόνας τὰς εὐλάλους, καὶ ἐμοῦ [3]) ἀδελφὰς Λαοδίκην καὶ Πολυξένην. Ἀφ' ὧν τὴν μὲν Λαοδίκην ἡ γῆ σχισθεῖσα ὑποδέξεται

συμμαχεῖν αὐτῷ, vt in ſchol. Pind. l. l.

10) λέγουσι) Sic pro λέγουσα noſtri cum Sebaſt.

11) τὸν Ἰοῦς) Noſtri τὸν τῆς Ἰοῦς.

12) διωκομ.) Vitt. 2 et 3. addunt cum Sebaſt.

13) ἄλλοι κιθάραν) *Vid. Niceph. ad Syneſ. de Inſom. p.* 362. Reineſius. *Vid. omnino ſchol. Pind.* IV, 380. *et Ariſtot.* II, 12. *Callimachus forte rectius ait ap. ſchol. Theocrit. ad Id.* II, *p.* 26. (v. 17.) τὴν Ἴϋγγα Ἠχοῦς εἶναι θυγατέρα, φαρμακεύειν δὲ τὸν Δία, ὅπως ἂν αὐτῇ (non Ἰοῖ) μιχθῇ. *Suidas quoque multa habet ad* Ἴϋγξ, *apud quem forte pro* ἱερονίκης καὶ Ἀφροδίτης *legendum* ἱερωμένη τῇ Ἀφροδίτῃ (Potterus iam nott. ad h. verſ. coniecit ἱερὰ τῇ Ἀφροδ.) *et deinde* ἐπὶ τὸν Ἰοῦς πόθον *pro* ἐπὶ τούτοις (fere vt Potterus) *vel etiam* ἐπὶ ἑαυτῆς, (cf. Küſter ad h. l.). *Tum quoque lege;* ἐστὶ δὲ καὶ ὀρνάριόν τι, *pro* ὀργάνιόν τι (quod a Küſtero non eſt mutatum). *Hortibonus, ſiue, vt notius audit, Caſaubonus Lectionibus Theocrit. ſic enim vocat, in ſcholiaſte Theocriti verba illa:* οἱ δὲ πειθοῦς, *quoniam addita erant in v. c. quoque pro varia lectione accepiſſe videtur, quod non eſſe verum, loci adducti probabunt. Pſellus quoque aliqua habet, vid. ad eum Gaulmin. et ad Euſtathium p.* 12. Haec Thryllitzſchius, qui vero propter rei ſuae anguſtias Suidam a Küſtero editum ad manus non habuiſſe queritur.

1) φεῦ — δυσαίων) Abſunt a Vitt. 1. 3. et Ciz.

2) σκύλαξ) Vit. 1. et Ciz. σκύλλα. Apud Zonar. σκύλλος· κυρίως ἐπὶ κυνὸς νεογνοῦ.

3) καὶ ἐμοῦ) Sic Vitt. 2 et 3. recte: reliqui καὶ omittunt.

περὶ τὸ ἄλμα 4) καὶ τὸ ἄλσος καὶ τὸν τοῦ πάππου μοῦ Τρωὸς παράδεισον (παρὰ τὸ ἄλλεσθαι καὶ αὔξεσθαι τὰ φυτὰ 5)), ὅπου ἡ Κίλλα τεθνηκυῖα κεῖται μετὰ τοῦ παιδὸς αὐτῆς Μουνίτου 6). Σθισθήσεται δὲ ἡ γῆ καὶ ὑποδέξεται 7) τὴν Λαοδίκην ἤτοι ἐν φάραγγι πεσεῖται καὶ ἀποθανεῖται ἡ Λαοδίκη, τότε ὅταν 8) πορθηθῇ 9) ἡ Τροία. Καὶ νῦν μὲν ὁ βάρβαρος καὶ ἀπρόσεκτος 10) Λυκόφρων πορθουμένης τῆς Τροίας αὐτήν φησιν ἀναιρεθῆναι, μετὰ μικρὸν δὲ προϊὼν ἐρεῖ, ὅτι 11) μετὰ τὴν τῆς Τροίας πόρθησιν Μουνίτου 12), τοῦ υἱοῦ τῆς Λαοδίκης, ἐν Θρᾴκῃ κυνηγετοῦντος μετὰ Ἀκάμαντος τοῦ πατρὸς αὐτοῦ καὶ ὑπὸ ὄφεως ἀνῃρημένου λύπῃ καὶ αὐτὴ 13) τελευτᾷ. Ἄλλοι δέ φασι τὴν Λαοδίκην διωκομένην ὑπὸ τῶν Ἑλλήνων πεσεῖν ὑπό τινα φάραγγα καὶ ἀποθανεῖν 14).

4) τὸ ἄλμα καὶ) A Seb. additum noſtri non agnoſcunt. Deinde quoque Vitt. 1. 3. et Ciz. παρὰ pro περί. Caeterum variant multi in hac fabula, cf. Heyne in Obſeru. ad Apollod. p. 302, et Pauſ. X, 26, p. 244. ed. Fac.

5) παρὰ — φυτὰ) Vt ſuſpecta a Seb. vncis incluſa a noſtris plane eiiciuntur.

6) Μουνίτου) Ita hic et poſtea legendum pro Μουνίππου, inuitis quidem h. l. Codd. Mſſ. et editt. Infra recte Μουνίτ. ad v. 447 et 495, et Parthen. c. 16.

7) ὑποδέξ.) Vit. 1. et Ciz. δέξεται.

8) τότε ὅταν) Sic Vit. 1. et Ciz. recte, pro πότε; ὅταν. Vitt. 2 et 3. delent πότε, vel τότε. Interim tamen vulgata etiam frequentatur a Tzetza.

9) πορθηθῇ) Recte Seb. pro πορθῆται, conſentientibus Vitt. 2 et 3.

10) ὁ βάρβ. καὶ ἀπρ.) Abſunt a Ciz. et Vit. 1. vt plerumque omnia, quae in contemtum Lycophronis dicuntur, haud dubie a Io. Tzetza, atque modo habent: ὁ δὲ Λυκόφρων λέγει.

11) ὅτι) Delent Vit. 1. et Ciz. non bene.

12) Μουνίτου) Sic legendum, demto τῷ ἄλλου, quod noſtri omnes recte damnant, nam idem, non alius eſt Munitus. Delent quoque ſeq. τῆς Λαοδίκης, quod quoque, vel αὐτῆς videtur delendum.

13) καὶ αὐτὴ) Noſtri pro Λαοδίκη, recte.

14) Ἄλλοι — ἀποθανεῖν)

Τὸ δὲ ἑξῆς οὕτως· Οἴμοι ἡ δυστυχὴς τὸν θάνατόν σου, ὦ τάλαινα σκύλαξ Ἑκάβη, θρηνῶ. Ἔτι δὲ καὶ τὰς δύο ἀηδόνας τὰς εὐλάλους μου ἀδελφὰς (φημὶ Λαοδίκην τε καὶ Πολυξένην), ὧν καὶ ἀφ' ὧντινων τὴν μὲν μίαν, ἤγουν τὴν Λαοδίκην ἡ τοκὰς κόνις ἤτοι ἡ πατρῴα γῆ, τοῦτ' ἔστιν ἡ Τροία, χανοῦσα δέξεται ἐν τῷ κευθμῷ καὶ σκοτεινῷ τόπῳ διασφάγος ἤγουν τοῦ χάσματος αὐτοπρεμνον καὶ σὺν αὐτοῖς τοῖς κλάδοις λεύσσουσαν καὶ μέλλουσαν βλέψαι τὴν ἀγχίπουν καὶ πλησίαν ἄτην καὶ βλάβην τῶν στεναγμάτων, ἵνα καὶ ὅπου ἐστὶ τὸ ἅλμα καὶ πήδημα, ἢ παράδεισον ἢ ἄλσος τοῦ πάππου τοῦ Τρωὸς, καὶ κέχυνται μεμιγμένοι σὺν τῷ σκύμνῳ ἤγουν τῷ Μουνίτῳ τῷ υἱῷ αὐτῆς οἱ μόροι τῆς χαμευνάδος πόρτιος καὶ δαμάλεως ἤγουν τῆς Κίλλας τῆς λαθρονύμφου καὶ πόρνης, πρὶν λαφύξασθαι καὶ ῥοφῆσαι καὶ γεύσασθαι καὶ θηλάσαι τὸ γάνος καὶ τὸ γάλα, μεταφορικῶς, πρὶν λυτρῶσαι καὶ καθᾶραι καὶ λοῦσαι ἐν δρόσῳ καὶ ὕδατι τὰ γυῖα καὶ τὰ μέλη ἐκ τῆς λοχείας καὶ τῆς γεννήσεως. Τὸ δὲ οἴμοι οὐ δύο [15]) μέρη λόγου ὑπάρχει, ἀλλ' ἓν, ὡς καὶ Ὅμηρος [16]) δείκνυσι λέγων· Ὤμοι ἐγώ.

Ex 315. Σκύλαξ [1])] σκύλακα τὴν Ἑκάβην λέγει, ὅτι κύων ἐγένετο, ὥς φησι μυθικῶς Εὐριπίδης [2])·

Κύων γενήσῃ πύρσ' ἔχουσα δέργματα.

καὶ Ἀσκληπιάδης περὶ τοῦ τόπου, οὗ ἀνῃρέθη·

Ὃ [3]) καὶ κυνὸς καλοῦσι δυσμόρου σῆμα.

In noſtris deſunt, vt mox tota ῥῆσις inde a: τὸ δὲ ἑξῆς usque ad γεννήσεως, quae a Seb. primum eſt recepta. Omnia fere, quae continet, iam antea ſunt dicta. Haud dubie ea ab alio aliis modo verbis ſunt adiecta.

15) οὐ δύο) Ciz. et Vit. 1. οὐχὶ δύο.

16) ὅμηρ.) Il. σ, 54, vbi vero ὤ μοι pro ὤμοι. Dein Vitt. 2 et 3. δεικνύει pro δείκνυσι.

1) σκύλαξ) Verba in edd. prior. poſt σκύλαξ poſita: τὸ ἑξῆς, ὦ δυστυχὴς σκύλαξ, noſtri cum Seb. tollunt.

2) Εὐριπ.) Hecub. 1265.

Καὶ ταῦτα μὲν τὰ μυθικὰ, τὸ δ' ἀληθὲς οὕτως ἔχει· Μετὰ τὴν 4) τελευτὴν Πολυξένης ἡ Ἑκάβη 5) ὕβριζε καὶ κατηρᾶτο τοὺς Ἕλληνας· οἱ δὲ ὀργισθέντες ὡς κύνα αὐτὴν λίθοις ἀνεῖλον. Περὶ δὲ 6) τῆς Κίλλης εἴπομεν 7) εἰς τό· Μηδ' Αἰσακείων οὐμός. Καὶ πάλιν ἐρῶ· Κίλλα Ἑκάβης ἦν ἀδελφὴ, Θεμίστου 8) δὲ γυνή. Αὕτη 9), ὥς φασι, λάθρα Πριάμῳ συγγινομένη 10) γεννᾷ Μούνιτον. Πριάμῳ δὲ χρωμένῳ 11), ἤτοι μαντευόντι ἐν Ζελείᾳ 12) περὶ τῆς βασιλείας ἐχρήσθη ἀνελεῖν τὴν τεκοῦσαν καὶ τὸ γεννηθέν. Ἔτυχε δὲ τότε τὴν μὲν Ἑκάβην 13) τεκεῖν τὸν Ἀλέξανδρον, τὴν δὲ Κίλλαν τὸν Μούνιτον. Φεισάμενος οὖν τῆς Ἑκάβης ἀνεῖλε τὴν Κίλλαν καὶ τὸν παῖδα αὐτῆς Μούνιτον. Ἐνταῦθα οὖν ἡ Λαοδίκη κατεπόθη ἐν τῇ γῇ 14).

Ex 322. Χυτλῶσαι] λοῦσαι, πλῦναι, χύτλον 15)

3) ὃ) Vit. 1. et Ciz. ὅν, fcl. τόπον.

4) μετὰ — πολ.) Vit. 2. μετὰ τελ. τὴν τῆς πολυξ. non male.

5) ἑκάβη) A Seb. infertum neque Codd. noftri, neque Eudoc. p. 143. habet.

6) περὶ δὲ) Sic pro περὶ noftri cum Seb. Mox noftri recte κίλλης pro κίλλας.

7) εἴπομεν) Supra ad v. 224.

8) θεμίστου) Sic, vt v. 227, non θυμοίτου legendum.

9) αὕτη) Vit. 1. et Ciz. ταύτη.

10) πρ. συγ.) Ciz. et Vit. 1. non bene πρίαμος συγγινόμενος.

11) πριάμῳ — χρωμ.) Vit. 1. et Ciz. πριάμου δὲ χρωμένου, quae lectio quoque videtur recipienda, nifi eiicias cum Vitt. 2 et 3. feq. αὐτῷ, quod quoque eiecimus. Caeterum noftri non agnofcunt ἤτοι μαντεύοντι, gloffam redolentia.

12) ζελείᾳ) Vitt. 2 et 3. perperam ζεκίᾳ. cf. Steph. ζέλεια.

13) τὴν ἑκάβην — τὴν κίλλαν) Sic emendauit Seb. Noftri conftanter tuentur lect. vulg. ἡ ἑκάβη τεκοῦσα — ἡ δὲ κίλλα, quae non minus eft proba, immo, ni fallor, praeferenda.

14) Μούνιτον — ἐν τῇ γῇ) A noftris abfunt.

15) χύτλον) Pro χύτλος, quod noftri feruant, Seb. e cunctis Mff. fuis reuocauit: an recte, ipfe videat, nam χύτλον eft oleum, quo corpora lauantium perfundi

γὰρ λέγεται [16]) ἐλαιοδόχον ἀγγεῖον, ἐφ' οὗ [17]) εἶχον οἱ παλαιοὶ τὸ ἔλαιον, ᾧπερ [18]) μετὰ τὸ λούσασθαι ἐχρίοντο.

323 — 29. Σὲ δ' ὠμὰ πρὸς νυμφεῖα] σὲ δὲ τὴν Πολυξένην [1]) ὁ στυγνὸς λέων ἤγουν ὁ Νεοπτόλεμος ὁ τῆς Ἴφιδος καὶ τῆς Ἰφιγενείας υἱὸς ἄξει πρὸς ὠμὰ νυμφεῖα καὶ πρὸς θυηλὰς καὶ θυσίας γαμηλίους μιμούμενος τὰς χέρνιβας καὶ θυσίας τῆς μητρὸς τῆς κελαινῆς καὶ σκοτεινῆς ἤγουν τῆς Ἰφιγενείας. Καὶ πάλιν οὕτω· Σὲ δὲ, ὦ Πολυξένη, πρὸς ἀπηνεῖς ἢ ἀώρους [2]) παστάδας καὶ γαμηλίους θυσίας (πάλιν ἀπὸ κοινοῦ τὸ ἀπανθρώπους καὶ ἀπηνεῖς ἢ ἀώρους [3])) ἄξει ὁ στυγνὸς καὶ κατηφὴς, ἢ στυγνότητος ἄξιος [4]) λέων τῆς Ἴφιδος καὶ τῆς Ἰφιγενείας. Λέγει δὲ τὸν Νεοπτόλεμον τῆς μητρὸς αὐτοῦ Ἰφιγενείας κατὰ Λυκόφρονα μιμούμενος τὰς ἐν Ταύροις θυσίας, ἤτοι τὴν ξενοκτονίαν [5]), ἥντινα Ἴφιδα καὶ Ἰφιγένειαν τὴν στεφηφόρον βοῦν ῥαίσει, καὶ φθερεῖ [6]) ἐν τῷ φασγάνῳ τοῦ τριπάτρου [7]) Κανδάονος καὶ Ὠρίωνος (καὶ γὰρ [8]) Καν-

ſolebant, χύτλος vero, vt κατάχυτλος ap. Polluc. X, 63. videtur fuiſſe vas, in quo illud oleum ſeruabatur, vt ſchol. ipſe docet, cf. Steph. Theſ. Gr. ad χύτλον.

16) λέγεται) A Seb. receptum comprobant Vitt. 2 et 3. cum Phauor.

17) ἐφ' οὗ) Vit. 3. ἐφ' ᾧ.

18) ᾧπερ) Recte noſtri, vt edd. ante Seb. ὅπερ: Vitt. 2 et 3. quoque λούεσθαι pro λούσασθαι.

1) σὲ δὲ τὴν πολ. usque ad καὶ πάλιν οὕτω a Seb. adiecta noſtri non adiiciunt.

2) ἢ ἀώρ.) Ciz. καὶ ἀώρ. Vit. 1. καὶ ἢ ἀώρ.

3) ἢ ἀώρ.) Abeſt a Ciz. et Vit. 1.

4) ἢ στυγν. ἄξ.) Vit. 1. et Ciz. ἢ στυγνότατος ἄξιος, mendoſe: Vitt. 2 et 3. ἤτοι ὁ ἄξιος λύπης.

5) ἤτοι τ. ξενοκτ.) Abſunt a Ciz. et Vit. 1. ſed Vitt. 2 et 3. vt edd. prior. λέγει δὲ τὴν ξενοκ.

6) καὶ φθερεῖ) Vit. 1. et Ciz. non exhibent.

7) ἐν — τριπάτρου) Noſtri, vt edd. pr. ἐν τῷ τριπάτρῳ φασγάνῳ, ſed mox Ὠρίωνος cum Seb. pro Ἄρεως, quod Pott. receperat, ratus, Martem a ſcholiaſte, vt infra, Candonem eſſe appellatum.

δάων καὶ Ὠρίων τὸ αὐτὸ, οὗ καὶ τῷ ξίφει ἀνεῖλον τὴν Ἰφιγένειαν, τριπάτρου, ἐπειδὴ ὁ Ὠρίων Διὸς καὶ Ποσειδῶνος καὶ Ἀπόλλωνος ἦν παῖς) ὁ δεινὸς δράκων, ἤτοι ὁ Διομήδης, ἢ τὶς ἱερεὺς τοῖς λύκοις καὶ τοῖς Ἕλλησι σχάσας καὶ καταβαλὼν [9]), καὶ θύσας τὸ πρωτόσφακτον ὅρκιον. Ἢ πάντα [10]) πρὸς τὸ Σὲ δὲ συντακτέον· ἥντινά σε ἐς βαθεῖαν (λείπει τὸ τάφρον [11])) ὡς Ποιμανδρίαν [12]) καὶ Βοιωτίαν στεφηφόρον βοῦν ῥαίσει καὶ φθερεῖ ἐν τῷ [13]) φασγάνῳ τοῦ τριπάτρου Κανδάονος καὶ τοῦ Ὠρίωνος, ὃν εἴπομεν [14]), ὁ Ἴφιδος λέων, ὁ δεινὸς ἄρταμος δράκων. Νῦν δὲ τὸ πρωτόσφακτον [15]) οὐ τὸ πρώτως σφαγὲν, ἀλλὰ τὸ εὐγενές. Καὶ τὰ μὲν τῆς ἐννοίας ταυτί· τὰ δὲ τῆς ἱστορίας ἔχουσιν οὑτωσί· Ἀχιλλεὺς ἐρασθεὶς Πολυξένης, καὶ δι' αὐτὴν [16]) ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ἀναιρεθεὶς ναῷ μετὰ τὴν τοῦ Ἰλίου [17]) πόρθησιν ᾐτήσατο καθ' ὕπνους τοὺς ἀρίστους τῶν Ἑλλήνων

8) καὶ γὰρ — ἦν παῖς) A Seb. inſerta noſtri non agnoſcunt. In Schol. Io. Tzetz. ad Heſiod. p. 136. ed. Heinſ. a Parthen. c. 20. et Anton. Lib. c. 25. Orion dic. filius Ὑριέως.

9) σχάσας καὶ καταβαλὼν usque ad v. 326. στιχουργήμασι in Vit. 1. et Ciz. adnectuntur v. 329. forſ. loco aptiori, ſed Vitt. 2 et 3. cum Seb. faciunt. In vniverſum hic multa turbata et temere repetita videntur. καὶ ante καταβαλ. delent Vit. 1. et Ciz.

10) ἢ πάντα) Vit. 3. ἅπαντα.

11) λείπ. τὸ τάφρον) Noſtri cum edd. vett. habent, deleto modo τό; et tamen Seb. id e duobus Codd. eruiſſe iactitat, editionibus prior. non inſpectis.

12) ὡς ποιμ.) Vit. 1. et Ciz. ὥσπερ ποιμ.

13) ἐν τῷ — ὠρίωνος) Noſtri tuentur lectionem priſtinam a Seb. immutatam: ἐν τῷ τριπάτρῳ καὶ τριδεσπότῳ φασγάνῳ — Ἄρεως.

14) ὃν εἴπομ.) Vitt. 2 et 3. ἣν εἴπομ.

15) τὸ πρωτ.) Sic legendum cum Vit. 3. reliqui τὸ omittunt.

16) δι' αὐτὴν) Vit. 3. δι' αὐτῆς, non apte.

17) τοῦ Ἰλίου) Noſtri abiiciunt art. τοῦ, vti mox quoque: τοὺς ἀρίστ. τῶν Ἑλλήν. et hinc: ὡς καὶ μετὰ θάν. ἐρῶν αὐτῆς.

σφαγιασθῆναι αὐτῷ τὴν Πολυξένην, ὡς καὶ μετὰ θάνατον ἐρῶν αὐτῆς, ἣν οἱ ἥρωες τῷ τάφῳ [18]) αὐτοῦ διὰ Νεοπτολέμου τοῦ παιδὸς ἐκείνου σφαγιάζουσιν, ὡς Εὐριπίδης ἐν Ἑκάβῃ φησίν. Ὁ δὲ Φλαύϊος [19]) Φιλόστρατος μόνην τὴν Πολυξένην φησὶν ἐξελθεῖν τῆς Τροίας ἔτι [20]) μὴ πορθηθείσης καὶ ἀποσφάξαι ἑαυτὴν ἐπὶ τῷ τάφῳ αὐτοῦ πόθῳ τε κατεχομένην τοῦ ἥρωος καὶ δικαίως λογιταμένην, ὡς οὐχ ἑτέρου τοιούτου εὐμοιρήσει νυμφίου [21]).

Ex 324. Ἴφιδος] Ἶφιν τὴν Ἰφιγένειάν τις λέγων [1]) καὶ τρεῖς συλλαβὰς ἐκκόπτων ἀφ᾽ ἑνὸς [2]) ὀνόματος πῶς ἂν στενωθείη τοῖς στιχουργήμασι [3]);

Ex 326. Ποιμανδρίαν] Ποιμανδρία πόλις Βοιωτίας, ἡ καὶ Τάναγρα καλουμένη, ἔνθα ἄριστοι βόες γίνονται [4]).

Ex 327. Στεφηφόρον] στεφανηφόρον εἶπεν, ὅτι ἐστεφάνουν καὶ ἄνθεσιν ἔπαττον [5]) τοὺς θυομένους.

Ex 328. Τριπάτρου] ἐπὶ μὲν Ὠρίωνος, ὃν καὶ Κανδάονα Βοιωτοὶ καλοῦσιν, οὕτως· Ὑριεὺς [6]) Κλονίαν [7])

18) τῷ τάφῳ) *in honorem sepulchri.* Vit. 1. et Ciz. τάφου, forte legendum ἐπὶ τάφου, vt Euripid. in Hec. 524. ἔστησ᾽ ἐπ᾽ ἄκρου χώματος. Reliqui cum Eudocia p. 341. tuentur vulgatam.

19) Φλαύϊος) Vit. 1. et Ciz. Φλάβιος: Vitt. 2 et 3. cum Eudoc. vt edd. vett. Φάλιος, perperam. *Intelligitur Flauius Philostrat. in Vita Apollon.* IV, 16. *p.* 183. *ed. Olearii. Adde in Heroicis c.* 19. *seg.* 11. Seb. cf. Iacobs ad Io. Tzetz. Posthom. v. 498, vbi eadem narrantur.

381 — 83. Ὅσων δὲ θύννων [2])] θύννους καλεῖ τοὺς κινδυνεύοντας [3]) Ἕλληνας. Τὸ δὲ ἑξῆς· Ὅσων δὲ θύννων ἠλοκισμένων καὶ κατακοπέντων τὰς ϱαφὰς τοῦ

Thryll. His adde Tzſch. ad Pomp. Mel. III, 2. p. 68.

11) ἰδιωτ.) Vit. 1. et Ciz. ἰδιωτικῶς: Vitt. 2 et 3. ἰδιωτικώτεϱον.

1) εἰσί) Delent Vitt. 1. 2. et Ciz. In Vit. 3. quoque deſunt ſqq. usque ad ὅτι καὶ διεκϱίθ.

2) Δίϱφυν) Sic quoque nominat Steph. Byz. praeeunte Euphorione.

3) Εὐβοίῃ) Ciz et Vit. εὐβοίη. Vit 2. hunc verſum ſic exhibet: Δίφϱυν ἀνατϱέχειν ὑπ᾽ εὐβοίας κεκένιστο, non bene.

4) διάκϱια) Cf. Steph. Byz. ibique interprtt.

5) Ἥφαιστ. — Ἑϱμῆς) Noſtri ſic: ὁ Ἥφαιστος καὶ ἡ Ἀθ. καὶ ὁ Πϱομηθεύς.

6) Ἑϱμῆς) Vitt. 2 et 3. h. l. Ἑϱμῆς, ſed Vit. 1. et Ciz. iterum Πϱομηθεύς.

7) ταῦτα) Vitt. 2 et 3. τοῦτο.

1) θάλασσα) Thryllit. putat, quum tres quatuorue verſus ne tangantur quidem, hinc plura deeſſe.

2) θύννων et θύννους pro θύνων et θύνους noſtri cum Seb. In Vit 3. deſunt θύννους usque ad θύννων.

3) κινδυνεύ.) Vit. 1. et Ciz. vt edd. pr. κινδυνεύσαντες.

κρατὸς [4]) ἐν τοῖς τηγάνοις καὶ πλατείαις [5]) πέτραις. Ἀπὸ κοινοῦ δὲ τὸ στεναγμῶν ἀκούσετε [6]).

Ὧν καταιβάτης] Οἱ Ἕλληνες μετὰ τὴν τῆς Τροίας ἅλωσιν ἀποπλέοντες γνοφώδους αὐτοῖ τοῦ ἀέρος καὶ πνευμάτων καὶ κεραυνῶν γεγενημένων ἀπώλοντο [7]), ὥσπερ [8]) καὶ Εὐριπίδης ἐν ταῖς Τρῳάσιν [9]) ὡς ἀπὸ τῆς Ἀθηνᾶς λέγει·

Καὶ Ζεὺς μὲν ὄμβρον καὶ χάλαζαν ἄσπετον
Πέμψει [10]) γνοφώδη τ' αἰθέρος φυσήματα·
Ἐμοὶ δὲ δώσειν φησὶ [11]) πῦρ κεραύνιον,
Βάλλειν Ἀχαιοὺς ναῦς τε πιμπράναι [12]) πυρί.

Καὶ πάλιν [13]) ὡς ἀπὸ τοῦ Ποσειδῶνος λέγει·

. . . . . ταράξω πέλαγος Αἰγαίας ἁλός.
Ἀκταὶ δὲ Μυκόνου Δήλιοί [14]) τε χοιράδες
Σκῦρός τε Λῆμνός θ' αἱ Καφήρειοί τ' ἄκραι
Πολλῶν θανόντων σώμαθ' ἕξουσι [15]) νεκρῶν.

Καταιβάτης] ὁ σκηπτὸς [16]), ὁ κάτω φερόμενος, καὶ πληκτικὸς, καὶ αἰφνίδιος κεραυνός. Εἴδη δὲ κεραυνῶν πέντε· Πρηστὴρ, ὁ καὶ πυρόεις [17]) καλούμενος, ὃς

4) τοῦ κρατ.) Noſtri τῆς κρατ. Vſitatius genus Neutrum.

5) πλατείαις) Abeſt a noſtris.

6) ἀκούσετε) Pro ἀκούσεται Seb. poſuit, ſed Vitt. 1. 3. et Ciz. hic et in Lycophr. ἀκούσεται.

7) ἀπώλοντο) Vit. 1. et Ciz. ἀπόλλονται.

8) ὥσπερ) Vitt. 2 et 3. ὡς.

9) τρῳάσιν) v. 78 — 81. In Ciz. et Vit. 1. deſunt verſſ. tres priores.

10) πέμψει) Vit. 3. πέμπειν, punctato tamen ν.

11) φησὶ — κεραύ.) Sic Seb. ſed Vitt. 2 et 3. vt edd. pr. πῦρ κερ. λέγει.

12) πιμπρ.) Vit. 1. et Ciz. πιμπρᾶν: Vit. 3. πιμπρᾶσθαι.

13) καὶ πάλιν) v. 88. ſqq.

14) Δήλιοι) Vit. 2. δήλιαι: Vit. 3. λειαί τε, et antea ἀκταὶ δὲ δὴ μύκονος.

15) σώμαθ' ἕξουσι) Vitt. 2 et 3. σῶμα θάψουσι, mendoſe.

16) ὁ σκηπτὸς) Noſtri καὶ σκ.

17) πυρόεις) Vit. 2. πυῤῥοεὶς.

καταφερομένου τοῦ πνεύματος καὶ ἐκπυρωθέντος καὶ λεπτυνθέντος [18]) γίνεται, Σκηπτὸς, ὁ καὶ καταιβάτης, γίνεται [19]) παχυνθέντος τοῦ πυρώδους πνεύματος, Ἀργὴς [20]), ὃς διὰ τὴν πάνυ [21]) λεπτότητα οὐ φλέγει, μελαίνει δὲ, Ψολόεις [22]), ὁ ἐν τῇ ψαύσει [23]) ὀλλύων, Ἑλικίας δὲ, ὁ συστροφὰς καὶ ἕλικας ποιῶν διὰ μέσον παχύτητος καὶ ὑγρότητος [24]) τῇ πυκνότητι τοῦ ἀέρος ἀντωθούμενος [25]).

384 — 86. Ὅταν καρηβαρεῦντας ἐκ μέθης [1])] ὅταν ὁ Σίντης ἤτοι ὁ Ναύπλιος ὁ Παλαμήδους πατὴρ φαίνῃ περὶ τὸν Καφηρέα τὸ ἀκρωτήριον τῆς Εὐβοίας λαμπτῆρα, καὶ φανὸν ποδηγέτην σκότους [2]) ἀγρυπνῶν καὶ καρηβαροῦντας [3]) ἐκ μέθης ἄγων τοὺς Ἕλληνας. Οὐ λείπει [4]) δὲ τὸ ὡς, ἵν' ᾖ· ὡς καρηβαροῦντας, ἀλλὰ

18) καὶ λεπτ) Abest a Vitt. 2 et 3.

19) γίνεται) Nostri quoque cum Seb. tollunt praemissum ὅς, sed Ciz. et Vit. ponunt γίνεται post πνεύματος.

20) ἀργὴς) Vitt. 2 et 3. ἀργὸς, quod etiam habet *Olympiod. ad Meteor. Aristotel. p. 44, vbi ita:* ἄλλος δὲ τούτου πάνυ ἐστὶ λεπτομερέστατος, ὡς ὀξύτατα διέρχεσθαι τὸ σῶμα, καὶ μὴ καίειν ὅλως, μηδὲ μελαίνειν· καὶ λέγεται ἀργὸς παρὰ τὸ ἀργεννὸν εἶναι, τοῦτ' ἔστι λαμπρόν. *Hoc modo legendum esset in Tzetza:* μηδὲ μελαίνει δὲ *pro* μελαίνει δέ. *Idem fere dicit pag. 46. vbi vero legendum* ἀργὴς κεραυνὸς *pro* ἀργέστης κερ. *nam* ἀργέστης *ventus huc non pertinet.* Thryllit. Hom. Odyss. ε, 128. βαλὼν ἀργῆτι κεραυνῷ.

21) πάνυ) Abest a Ciz. et Vit. 1.

22) ψολόεις) Hesiod. Scut. 422. πληγεῖσα Διὸς ψολόεντι κεραυνῷ.

23) ψαύσει) Vit. 3. καύσει.

24) μέσον — ὑγρότητος) Sic cum Seb. Vitt. 2 et 3. pro μέσην ταχύτητα καὶ ὑγρότητα, quod tuentur Vit. 1. et Ciz.

25) ἀντωθ.) Vitt. 2 et 3. ἐνωθούμενος, perperam.

1) ἐκ μέθης) Addunt Vit. 1. et Ciz.

2) σκότους) Vitt. 2 et 3. σκότου.

3) καρηβαρ.) Vit. 1. et Ciz. καρηβαρεῦντας, vt ap. Lycophr.

4) οὐ λείπει) A Vit. 3. abest οὐ, non bene.

καλῶς οὕτως ἔχει. Καὶ γὰρ Ὅμηρος οὕτως ἐν Ὀδυσσείᾳ φησίν 5)·

Οἱ δ' ἦλθον οἴνῳ βεβαρηότες υἷες Ἀχαιῶν.

Ἡ δὲ ἱστορία τοιάδε·

Ὀδυσσεὺς 6) μὴ θέλων καὶ αὐτὸς συμπλεῦσαι ἐπὶ Τροίαν τοῖς Ἕλλησιν ὑπεκρίνετο εἶναι μωρός. Ζευγνὺς τοίνυν ἵππον καὶ βοῦν ἠροτρία. Τοῦτον δὲ Παλαμήδης ὁ Ναυπλίου καὶ Κλυμένης 7) τῆς Κατρέως 8) σοφώτατος ὢν τῶν κατ' αὐτὸν ἀνθρώπων 9) ἤλεγξε· Τηλέμαχον γὰρ τὸν υἱὸν τοῦ Ὀδυσσέως τίθησιν ἔμπροσθεν αὐτοῦ ἀροτριῶντος. Αὐτοῦ δὲ κρατήσαντος τὸ ἄρμα, ἵνα μὴ ὁ παῖς αὐτοῦ φονευθῇ, ἠλέγχθη. Συνέπλευσεν οὖν ἐπὶ τὴν Τροίαν τοῖς Ἕλλησιν ὁ Παλαμήδης τε καὶ ὁ Ὀδυσσεύς. Παλαμήδης δὲ φθόνῳ Ὀδυσσέως καὶ πεπλασμέναις τούτου γραφαῖς κατηγορηθεὶς ὡς προδώσων τῷ Πριάμῳ τοὺς Ἕλληνας. Πεισθέντες οὖν οἱ Ἕλληνες ἐλιθοβόλησαν αὐτὸν καὶ οὕτως ἀναιρεῖται. Γέγονε δὲ ὕστερον ἐν Λεπετύμνῳ ὄρει Μηθύμνης 10) ἱερὸν τοῦ ἀνδρός.

5) καὶ γὰρ — φησίν) Vit. 1. et Ciz. καὶ (lege κατὰ) τὸν ὅμηρον ἐν Ὀδ. γράφοντα, scl. γ. v. 139.

6) Ὀδυσσεὺς usque ad τοῦτον δὲ in nostris desiderantur.

7) κλυμένης) Recte, Apollod. II, 1, 5. et III, 2, 2. Vitt. 2 et 3. κλημίτης, perperam. Eudocia p. 321. πλημίτης, vnde errorem hausisse videntur.

8) κατρέως) Seb. male κρατέως.

9) κατ' αὐτ. ἀνθρώπων) Hinc nostri sic pergunt: συνέπλευσεν ἐπὶ Τροίαν τοῖς Ἕλλησι, φθόνῳ δὲ Ὀδυσσ. καὶ πεπλασ. τούτου (in Vit. 1. et Ciz. deest τούτου) γραφ. κατηγ. ὡς προδώσων (Vit. 1. et Ciz. προδιδοὺς) τῷ Πρ. τοὺς Ἕλλην. λιθοβοληθεὶς ἀναιρεῖται, reliquis demtis, quae ab alio glossatore adiecta videntur.

10) ὄρει Μηθύμνης) H. e. monte iuxta Methymnam, vrbem Lesbi. In locis describendis Tzetzes saepius sic vtitur Genitiuo, e. g. ad v. 411, palus Heracleae, h. e. prope Heracleam, ad v. 424, mons Colophonis, h. e. imminens Colophoni, ad v. 522, vrbs Corinthi, h. e. prope Corinthum.

Τότε δὲ μαθὼν τὴν τοῦ υἱοῦ [11]) ἀναίρεσιν ὁ τούτου πατὴρ Ναύπλιος ἔπλευσε πρὸς τοὺς Ἕλληνας καὶ τὴν τοῦ παιδὸς ἀπῄτει ποινήν. Ἄπρακτος δὲ ὑποστρέψας, πάντων [12]) χαριζομένων τῷ βασιλεῖ Ἀγαμέμνονι, μεθ' οὗ τὸν Παλαμήδην ἀνεῖλεν ὁ Ὀδυσσεὺς, περιπλέων [13]) λοιπὸν τὰς Ἑλληνίδας [14]) χώρας παρεσκεύασε τὰς τῶν Ἑλλήνων γυναῖκας μοιχευθῆναι, οἷον Κλυταιμνήστραν τὴν τοῦ Ἀγαμέμνονος [15]) Αἰγίσθῳ, Αἰγιάλειαν τὴν Διομήδους τῷ υἱῷ τοῦ Σθενέλου [16]), Μήδαν [17]) δὲ τὴν Ἰδομενέως ὑπὸ Λεύκου, ἣν καὶ ἀνεῖλε Λεῦκος, καὶ Κλεισιθήραν [18]) τὴν θυγατέρα αὐτῆς ἐν τῷ ναῷ καταφυγούσας [19]), καὶ τῶν λοιπῶν ὁμοίως [20]). Καὶ δέκα πόλεις τῆς Κρήτης ἀποσπάσας ἐτυράννησε καὶ μετὰ τὸν Τρωϊκὸν πόλεμον καὶ τὸν Ἰδομενέα [21]) τῇ Κρήτῃ καταίροντα ἐξήλασε. Ταῦτα πάντα ταῖς τοῦ Ναυπλίου γέγονε συ-

11) τοῦ υἱοῦ) A Seb. emendatum: noſtri cum Eudoc. tuentur vulgat. τούτου.

12) πάντων) Deleuimus cum Vitt. 2 et 3. et Eudoc. ὡς in vulg. praepoſitum.

13) περιπλέων) Noſtri cum Eudoc. παραπλέων.

14) ἑλληνίδας) Vitt. 2 et 3. cum Eudoc. ἑλληνικάς.

15) τὴν τ. Ἀγαμ.) A noſtris et Eudoc. abeſt, et mox quoque τὴν Διομήδους.

16) υἱῷ τ. Σθεν.) Qui nominabatur Cometes, Io. Tzetz. in Chil. III, 287. Vit. 1. et Ciz. legunt Σθενέλῳ. Caeterum Dictys Cret. VI, 6. non ipſum Nauplium, ſed filium eius Oeacem has feminas contra maritos armaſſe tradit.

17) μήδαν) Sic Vitt. 2 et 3. Eudoc. et Io. Tzetz. Chil. III, 294. ſed Ciz. et Vit. 1. vitioſe μήδειαν.

18) κλεισιθήραν) Sic Vit. 1. et Ciz. et Io. Tzetz. in Chil. III, 294. ſed Vitt. 2 et 3. cum Eudoc. κλησιθήραν.

19) καταφ.) Vit. 1. et Ciz. καταφυγούσης, vt modo ad filiam referatur, non bene, nam ipſe Io. Tzetz. l. l. v. 295. ambas in templo iugulatas narrat. Eudocia conſentit vulg.

20) καὶ τῶν — ὁμοίως) Abſunt a noſtris et Eudocia.

21) Ἰδομ.) Sic Vitt. 2 et 3. cum Eudoc. Ciz. vero et Vit. 1. Ἰδομενῆα.

σκευαῖς. Ὕστερον δὲ ἀκούσας τὴν τῶν Ἑλλήνων ἐπάνοδον [22]) ἐπὶ τὴν πατρίδα ἧψε Φρυκτὸν περὶ τὰ κοῖλα τῆς Εὐβοίας καὶ ὃν εἴπομεν [23]) Καφηρέα, νῦν δὲ Ξυλοφάγον [24]) καλούμενον, ὅπου προσπλεύσαντες [25]) οἱ Ἕλληνες ἐν τῷ δοκεῖν λιμένα εἶναι διεφθάρησαν. Τὰ δὲ [26]) περὶ τὸν Παλαμήδην καὶ Εὐριπίδης ἐν τῷ δράματι Παλαμήδους φησίν·

Ἐκάνετ᾽, ἐκάνετε τὰν [27]) πάνσοφον, ὦ Δαναοί,
Τὰν οὐδὲν [28]) ἀλγύνουσαν ἀηδόνα, Μουσῶν.
Ἐκάνετ᾽, ἐκάνετε τὸν ἄριστον Ἀχαιῶν.

Ex 385. Λαμπτῆρα ποδηγέτην σκότους [1])] τὸν Φρυκτὸν λέγει, ὃς κατῆξεν αὐτοὺς εἰς Ἀΐδην [2]). Ἔστι δὲ τὸ σχῆμα παραδοξολογία [3]).

387 — 92. Τὸν δ᾽, οἷα δύπτην] τὸν δὲ γυμνήτην [4]) καὶ ὁπλίτην φάγρον (λέγει δὲ τὸν Λοκρὸν Αἴαντα)

22) ἐπάνοδ.) Sic Vitt. 2 et 3. et Eudoc. cum Seb. ſed Vit. 1. et Ciz. vt edd. pr. ἄνοδον.

23) ὃν εἴπομ.) Expunximus auctoritate Codd. noſtrorum part. ἂν poſt ὄν, vnde orta videtur, poſitam. Eudoc. p. 321 modo καφηρέα λεγόμενα pro καὶ ὃν εἴπομ. καφ.

24) ξυλοφ.) Vit. 2. λυκοφάγον, inepte.

25) προσπλεύσ.) Vit. 1. et Ciz. παραπλεύσ. Vitt. 2 et 3. cum Eudoc. πλεύσαντες, et hinc αὐτοῦ (*ibi*) δοκεῖν pro ἐν τῷ δοκεῖν.

26) τὰ δὲ usque ad v. 385. λαμπτῆρα deſunt in Vit. 1. et Ciz. extant vero in Vitt. 2 et 3. Sunt etiam, vt Thryllit. et Seb. monent, ap. Laert. II, ſect. 44. in Philoſtrat. Heroic. c. 11. p. 718. ed. Lipſ. in Grotii Excerpt. Vett. Trag. p. 396, et in Eurip. ed. Lipſ. T. II. p. 461.

27) ἐκάνετε τὰν) Vitt. 2 et 3. ἐκτάνετε τόν.

28) τὰν οὐδὲν) Vitt. 2 et 3. τοῦ, οὐδέν.

1) σκότους) Vitt. 2 et 3. σκότου.

2) εἰς Ἀΐδ.) Vit. 3. εἰς τὸν Ἀΐδ.

3) παράδοξ.) Vitt. 2 et 3. παραδοξολόγημα, voc. aliis ignotum.

4) γυμνήτ.) Pro γυμνίτ. Vit. 2. hic et poſtea, recte.

ἢ τὸν Φάγρον γυμνήτην καὶ γυμνὸν κομίσει τὸ κῦμα διὰ τοῦ στενοῦ αὐλῶνος καὶ ἐπιμήκους πελάγους ὥσπερ εὐκόλυμβον ἄῤῥενα ἀλκυόνα μεταξὺ τῶν δύο χοιράδων κλυδωνιζόμενον· ἐν ταῖς Γυραίαις δὲ πέτραις σωθεὶς καὶ στεγνὰ 5) ποιῶν τὰ πτερὰ διαβραχέντα ἐκ τῆς θαλάσσης 6) πάλιν πεσεῖται εἰς τὴν θάλασσαν ἀπὸ τῶν ὄχθων καὶ πετρῶν τῇ τριαίνῃ καὶ τῇ τρικυμίᾳ βληθεὶς τοῦ Ποσειδῶνος καὶ τῆς θαλάσσης, καὶ συμπλευσεῖται 7) ταῖς Φαλαίναις καὶ τοῖς λοιποῖς ἰχθύσιν· ὃν ὕστερον ἐκριφέντα ὑπὸ τῶν κυμάτων ἡ Θέτις θάψει περὶ τὸν Τρέμοντα χωρίον 8) τῆς Δήλου.

Κηρύλον] Κηρύλος ὁ ἄρσην ἀλκυὼν παροξυτόνως διὰ τοῦ η καί ἐστι Δωρικόν. Κείρυλος δὲ διὰ διφθόγγου τοῦ ι προπαροξύτονον 9) Ἀττικῶς, ὥς φησιν Εὐφρόνιος 10). Σὺ δὲ τὸ κηρύλος ἐπ' ἴσης γίνωσκε γράφειν ἡμᾶς τε καὶ τοὺς Ἀττικοὺς καὶ τοὺς Δωριέας 11), τοὺς δὲ Αἰολέας 12) διὰ διφθόγγου 13). Ἐκεῖνοι γὰρ τὸ Πηλεὺς καὶ Νηλεὺς καὶ τὰ ὅμοια Πείλευς καὶ Νείλευς διὰ διφθόγγου γράφουσιν καὶ παροξυτόνως λέγουσιν 14), ὡς

5) στεγνὰ) Pro στεγανὰ nostri cum Sebast.

6) διαβρ. ἐκ — θαλ.) Sic cum Seb. Vitt. 2 et 3. verum Vit. 1. et Ciz: διάβροχον ὄντα τῇ θαλάσσῃ.

7) συμπλευσ.) Vitt. 2 et 3. συμπεσεῖται.

8) περὶ — χωρίον) Vit. 1. et Ciz. περὶ — χῶρον: Vitt. 2 et 3. περὶ τὸν τρόμον τῷ χορίῳ (forf. τὸ χωρίον). Infra ad v. 1141. τρέμωνα. *Loci huius meminit Eustath. ad Dionys. v. 524.* Seb.

9) τοῦ ι προπαροξ.) Nostri ignorant.

10) Εὐφρόν.) *Laudatur a Suida in διϊτρεφής, et Etymol. M. in ἐνοργμός.* Sebast. et Athen. XI, 495. c.

11) τοὺς Δωρ.) Art. τοὺς adiecimus e Vit. 2. nam conuenit reliquis.

12) Αἰολέας) Vitt. 2 et 3. Αἰολεῖς.

13) διὰ διφθ.) Nostri δίφθογγον sine διά. Quam parum sibi constet Sebast. apparet inde, quia mox dat διφθόγγῳ.

14) διὰ διφθ. — λέγουσιν) Sic rescripsimus ope Vit. 1. et Ciz. pro λέγουσι καὶ διφθόγγῳ γράφουσιν. Vitt. 2 et 3. vt vulg. si excipias διὰ διφθόγγου pro διφθόγγῳ.

οἱ Δωριεῖς [15]) τὸ πλῆον καὶ μῆον [16]) καὶ τὰ ὅμοια διὰ τοῦ ἦτα γράφουσιν. Ἀλλὰ καὶ περὶ [17]) τῶν κηρυλων, καὶ ἅ φησιν Ἀντίγονος [18]) λεκτέον· Γηράσαντας τοὺς ἄρσενας ἀλκυόνας [19]) αἱ θήλειαι βαστάζουσι τοῖς πτεροῖς, ἐν δὲ τῇ συνουσίᾳ γηράσαντες οἱ ἄῤῥενες τελευτῶσι. Τὴν δὲ λῆρον [20]) καὶ μυθικὴν τοῦ κηρύλου [21]) ἱστορίαν καὶ τῶν ἀλκυόνων ἐῶ.

Ex 388. Αὐλῶνος [1])] τὸν στενὸν τόπον αὐλῶνα καλεῖ.

Ex 389 — 90. Διπλῶν μεταξὺ χοιράδων] Μυκόνου καὶ Τήνου [2]) ἢ Ἄνδρου καὶ Τήνου, ἢ μεταξὺ δύο τινῶν [3]) χοιράδων περὶ τὰς Γυρὰς οὕτω καλουμένας [4]) πέτρας. Καὶ Ὅμηρος [5])·

> Γυρῇσι μὲν πρῶτα [6]) Ποσειδάων ἐπέλασσε
> Πέτρῃσι μεγάλῃσιν . . .

15) ὡς οἱ Δωρ. — γράφουσιν) Desiderantur in Vitt. 2 et 3.

16) πλῆον — μῆον) Vit. 1. et Ciz. πλεῖον — μεῖον, non apte, nam πλῆον et μῆον dorice dictum. Mox vero minus inepte γράφονται pro γράφουσι.

17) ἀλλὰ περὶ) Vit. 3. ἀλλὰ καὶ περὶ.

18) Ἀντίγ.) *Scl. Carystius in Hist. Mirab. c.* 27. Seb.

19) ἀλκ.) Vit. 1. et Ciz. ἀλκυόνες. cf. de Alcyone Coelius Ant. Lectt. XIV. 11.

20) τὴν δὲ λῆρον — ἐῶ) Absunt a Vit. 1. et Ciz.

21) κηρύλου) Restituit Sebast. Vitt. 2 et 3. tuentur vulg. κήϋκος.

1) Αὐλῶνος) Hoc schol. in Vit. 1. et Ciz. et in edd. pr. non h. l. sed v. 389. post κυλινδιῶν reperitur.

2) τήνου) Vitt. 2 et 3. τένου, vt supra et posthaec.

3) δύο τινῶν) Vit. 1. et Ciz. τῶν δύο.

4) καλουμ.) Vit. 1. et Ciz. praeponunt οὕτω.

5) Ὅμηρ.) Odyss. δ. 500. vbi cf. Barnes.

6) πρῶτα) Vit. 1. et Ciz. πρῶτον. Verba vero πέτρ. μεγάλ. a Seb. addita nostri non addunt.

Ἡ δὲ Τῆνος καὶ Μύκονος νῆσοί εἰσι τῶν Καλυδνῶν. Γυραῖαι δὲ κυρίως ελεγοντο [7]) αἱ πέτραι, ἐν αἷς ὁ Αἴας ἀπώλετο.

Ex 392. Τριωνύχῳ δορὶ] τῇ τριαίνῃ [8]).

393. Κολαστὴς] ὁ Ποσειδῶν ἤτοι ἡ θάλασσα, ὅτι αὐτός ἐστιν ὁ κολάζων καὶ τιμωρῶν καὶ σείων τὴν γῆν.

Λατρεὺς] ὁ αὐτὸς, ὅτι [9]) τῷ Λαομέδοντι ἐλάτρευσεν ἐπὶ τῇ τῆς Τροίας οἰκοδομήσει. Καὶ Ἡσίοδος ἐν τῇ Ἡρωϊκῇ Γενεαλογίᾳ·

> Ἤματι τῷ, ὅτε τεῖχος ἐϋδμήτοιο πόληος
> Ὑψηλὸν ποίησε Ποσειδάων καὶ Ἀπόλλων,

μυθικῶς.

395. Κόκκυγα] Κόκκυξ ὄρνεον δειλὸν ὅμοιον ἱέρακι. Ἔστι δὲ λάλον [10]), ὃ καὶ [11]) διὰ δειλίαν οὐ συναυλίζεται τοῖς λοιποῖς ὀρνέοις. Ἢ οὖν διὰ τὸ μόνιμον [12]) εἶναι τὸν Αἴαντα παρείκασε κόκκυγι, ἢ διὰ τὸ φλυάριον [13]). Φησὶ γὰρ καὶ Ὅμηρος [14])·

7) ἐλέγοντο) Ciz. et Vit. 1. ἤκουον. A Vitt. 2 et 3. plane absunt τὸν δὲ στενὸν — ἀπώλετο.

8) τριαίνῃ) Hoc fchol. abeft a Vit. 1. et Ciz.

9) ὁ αὐτὸς, ὅτι) Sic Vit. 1. et Ciz. demto deinde ποσειδῶν, et ἐπὶ τῇ τῆς pro ἐπὶ ἧς, melius vulgata, quae ignorat ὁ αὐτὸς. Verba autem καὶ ὁ Ἡσίοδος usque ad μυθικῶς abfunt ab iisdem. Vitt. 2 et 3. habent verff. auctore autem non nominato. Extant autem hi verff. in ed. Lipf. p. 452.

10) ἔστι — λάλον) Defunt in noftris Codd.

11) ὃ καὶ) Debemus καὶ Vitt. 2 et 3.

12) μόνιμον) Pro μόνιον a Seb. reductum comprobat Vit. 3. fed Vit. 1. et Ciz. habent δειλὸν εἶναι. bene: forte vtrumque iungendum δειλὸν καὶ μόνιμον, fiue potius μόνιον, εἶναι, eorum caufa, quae antea funt dicta: διὰ δειλίαν οὐ συναυλ. τοῖς λοιποῖς ὀρνέοις. Αἴαντα ignorant Vitt. 2 et 3.

13) φλυάριον) Sic Sebaft. cum Vitt. 2 et 3. quam formam Lexica ignorant: Vit. 1. et Ciz. vt edd. pr. φλύαρον.

14) γὰρ Ὅμηρ.) Vit. 1. et Ciz. γὰρ καὶ Ὅμηρ. Odyff. δ, 504.

Φῆ ῥ', ἀέκητι θεῶν φυγέειν μέγα [15]) λαῖτμα θαλάσσης.

Ἢ διὰ τὸ μάτην [16]) φθέγγεσθαι, καὶ γὰρ θορυβητικὸν καὶ φλύαρον τὸ ὄρνεον. Ἔστι δὲ καὶ δύσφωνον, ὅπερ [17]) Ῥωμαίοις κούκουλος [18]) καλεῖται.

Στόμους [19])] λοιδορίας. Ἐγὼ δὲ στόμους φημὶ τὰς διὰ στόματος ὕβρεις, χλεύας καὶ στωμυλίας.

396 — 97. Νέκυν δελφῖνος] τὸν νεκρὸν τοῦ Αἴαντος διὰ τὸ ἐκβρασθῆναι εἰς γῆν [1]) · ὁ γὰρ δελφὶν [2]) γνοὺς ἑαυτὸν τελευτῶντα εἰς γῆν ἐξέρχεται, ὡς ὁ Ὀππιανὸς [3]) λέγει.

Ἀκτὶς Σειρίου] Ἢ Σειρία [4]), ἡ ἡλιακή, ἢ τοῦ ἡλίου, καταχρηστικῶς. Σείριος δὲ κυρίως ἀστήρ ἐστιν εἷς ὑπὸ τὸ γένειον κείμενος τοῦ ἀστρῴου κυνός, ὃν οἱ ἰδιῶ-

15) μέγα) Vit. 3. μόγις: in Vit. 2. plane abeſt.

16) ἢ διὰ τὸ μάτην — ὄρνεον) Deſunt in Vitt. 2 et 3. et ſane abeſſe poſſunt, nam antea dicta fere repetunt. Adſunt quidem in Vit. 1. et Ciz. ſed praemittunt hi verſſ. Homeri, melius, vt mihi videtur, ſic: φλύαρον, καὶ μάτην φθέγγεσθαι, θορυβ. γὰρ καὶ φλ. ὄρνεον. Deinde verba ἔστι δὲ καὶ — καλεῖται, a Seb. huc translata, noſtri non transferunt, ſed, vt in edd. pr. ponunt poſt: τοῖς λοιποῖς ὀρνέοις, ita vt Vitt. 2 et 3. ἔστι δὲ δυσφων. ponant poſt, Vit. 1. autem et Ciz. ante ὃ — καλεῖται. Omnia ergo in hoc ſchol. variis ſubinde additis, omiſſis et emendatis, ſunt turbata.

17) ὅπερ Ῥωμ.) Sic Vit. 1. et Ciz. recte pro ὃ παρὰ Ῥωμ.

18) κούκ.) Forte ab κόκκυγι, κούκκουλος. Vitt. 2 et 3. κοῦκκος, non male: ſic quoque Suid. ad κόκκυξ. Vit. 1. et Ciz. κόκουλος.

19) στόμους) Ciz. et Vit. 1. στόβους. In iis tamen deſunt ἐγὼ δὲ — στόματος, vt mox in Vitt. 2 et 3. χλεύας.

1) εἰς γῆν) Vit. 1. et Ciz. εἰς τὴν γῆν.

2) δελφὶν) Ciz. et Vit. 1. δελφὶς, quod idem eſt.

3) Ὀππιαν.) *De piſcat.* II, 627. Sebaſt.

4) ἢ Σειρία (Vitt. 2 et 3. ἢ Σείρους) — ἡλίου) Reſtituimus hunc ordinem verborum, quem Seb. inſulſum nominat, ſane inſulſe: ponit enim ἢ τοῦ ἡλίου ſtatim poſt Σειρίου.

ται [5]) τῷ τοῦ ὅλου κυνὸς ὀνόματι κύναστρον προσαγορεύουσι. Περὶ δὲ [6]) τοῦ Σειρίου τούτου ἀστέρος ἐν τοῖς Φαινομένοις Ἄρατος [7]) λέγει·

. . . . . Ἡ δέ οἱ ἄκρη
Ἀστέρι βέβληται δεινῷ γένυος, ὅς ῥα μάλιστα [8])
Ὀξέα σειριάει [9])· καί μιν καλέουσ' [10]) ἄνθρωποι
Σείριον . . . .

ὅπου τὸ σειριάει ἐστὶ λάμπει ἢ ξηραίνει [11]).

Καταυανεῖ] καὶ καθαυανεῖ. Καταυανεῖ μὲν ξηρανεῖ· αὔω γὰρ, τὸ ξηραίνω, ψιλοῦται, καθαυανεῖ δὲ ἀντὶ τοῦ λαμπρυνεῖ· αὔω γὰρ, τὸ λάμπω, δασύνεται, ὅθεν καὶ Φαύω [12]) λέγομεν. Τὸ δὲ σχῆμα [13]) χαριεντισμὸς καὶ ἀστεϊσμὸς λέγεται· τὸ γὰρ εἰπεῖν λαμπρυ-

5) ἰδιῶται) Noſtri ἰδιωτικοὶ, qui quoque ſeruant vulg. τὸ τοῦ ὅλου κ. ὄνομα pro τῷ — ὀνόματι.

6) περὶ δὲ) Vitt. 2 et 3. πῶς δὲ, forte ὡς περί. *Puto πῶς eſſe Tzetzae, et poſt λέγει pono, atque poſt ἀστέρος forte περί.* Thryllit.

7) Ἄρατος) v. 329. ſqq.

8) Ἡ δέ οἱ ἄκρη — μάλιστα) A Seb. addita noſtri cum edd. pr. non addunt.

9) σειριάει) Pro σειράει Seb. cum Vit. 2. recte: Vit. 1. et Ciz. σειριάζει, verbum, etſi ignotum, tamen non contemnendum, niſi metrum contemneret.

10) καλέουσ') Vitt. 2 et 3. καλέουσιν, cui lectioni metrum aduerſatur.

11) λάμπει ἢ ξηραίνει, quae non ſunt Arati, et iam a Pottero in ed. 2. eiecta, ſoli Vit. 1. et Ciz. tuentur medio in verſ. poſt σειριάζει, vt edd. prior. non male, ſi vncis includas, nam a Tzetza, vt facit aliis verſſ. poetarum laudatis, explicandi voc. σειριάζει cauſa ſunt interiecta. Videntur in prima recenſione medio in verſu, in altera vero a Io. Tzetza poſita poſt verſus Arati, vt iam a Seb. factum eſt, additis verbis: ὅπου τὸ σειρ. ἐστί.

12) Φαύω) Reineſ. mavult ἀφαύω. Caeterum deſunt in Vit. 3. αὔω — λέγομεν. Verba autem iterata τὸ δὲ καθαυανεῖ ἀντὶ τοῦ λαμπρυνεῖ, et Seb. eiecta poſt λέγομεν Vitt. 1. 2. et Ciz. ſeruant.

13) τὸ δὲ σχ.) Noſtri cum Seb. non recipiunt δέ.

νεῖ τὸν νεκρὸν χάριέν ἐστιν· ὁ γὰρ ἥλιος [14]) ξηραίνει, οὐχὶ λαμπρύνει. Καὶ τὸ ξηραινόμενον πανταχοῦ μελαίνεται· διὰ τοῦτο λέγεται χαριεντισμὸς τὸ σχῆμα. Ἡ δὲ ἔννοια τοιαύτη· Τὸν δὲ Αἴαντα ἐκβεβρασμένον τῆς θαλάσσης ὁ ἥλιος ξηρανεῖ, ὡς σῶμα δελφῖνος. Λείπει δὲ τὸ ὡς, ἵνα λέγῃ, ὅτι ὡς τάριχον καὶ τεταριχευμένον καὶ σαθρὸν ἤτοι σαπρὸν κατακρύψει οἰκτίσασα ἡ Νησαίας κάσις ἤγουν ἡ Θέτις ἡ βοηθὸς τοῦ μεγίστου δίσκου ἤτοι Διός. Βοηθὸς δὲ τοῦ Διὸς ἡ Θέτις, ὡς καὶ Ὅμηρος [15])·

Ἀλλὰ σύ τόν γ' ἐλθοῦσα θεὰ ὑπελύσαο δεσμῶν.

398. Μνίοις δὲ καὶ βρύοις] Μνίον τὸ κεκολλημένον ἐν θαλασσίαις [1]) πέτραις ἢ ἐριῶδες ἢ βοτανῶδες. Βρῦον δὲ τὸ ἐκκοπὲν καὶ πλέον ἐν ὕδασιν.

Σαθρὸν] νῦν τὸ σεσημμένον. Κυρίως δὲ σαθρὸς ὁ ἀσθενὴς, ὁ σεσημμένα [2]) τὰ ἄρθρα ἔχων.

399 — 400. Νησαίας κάσις] Ἡ Νησαία μία τῶν Νηρηΐδων, θυγάτηρ Νηρέως καὶ Δωρίδος τῆς Ὠκεανοῦ θυγατρός. Κάσις δὲ Νησαίας νῦν [3]) ἡ Θέτις. Ἐκ τοῦ ἐπιφερομένου δὲ νοεῖται· φησὶ γάρ· Δίσκου μεγίστου τάῤῥοθος. Οὐκ ἄλλη δὲ τῶν Νηρηΐδων τοῦ δίσκου ἤτοι τοῦ λίθου δηλονότι τοῦ Διὸς γέγονε βοηθὸς, ἀλλὰ μόνη ἡ Θέτις. Δίσκον δὲ τὸν Δία [4]) λέγει διὰ τὸν λίθον τὸν ἀντὶ Διὸς ὑπὸ Ῥέας σπαργανωθέντα καὶ ὑπὸ Κρόνου καταποθέντα, ὥς φησιν Ἡσίοδος [5]) ἐν τῇ Θεογονίᾳ, τὴν Ὀρ-

14) ὁ γὰρ ἥλιος usque ad extr. huius verſ. a noſtris abſunt.

15) ὅμηρ.) Il. α, 401.

1) θαλασσ.) Vit. 1. et Ciz. ταῖς.

2) ὁ σεσημ.) Pro καὶ σεσημ. Vitt. 2 et 3. bene.

3) νῦν) Abeſt a noſtris.

4) τὸν Δία — καταποθέντα) Deſunt in Vitt. 2 et 3. incuria librarii putat Thryllit.

5) Ἡσίοδος) v. 484 — 91. *Paſſim arguitur Heſiodus Orphei Theogoniam non tam imitatus fuiſſe, quam corrupiſſe, quare videndae Thomae Galei notae ad Apollo-*

φέως ὑποκλέψας καὶ παραφθείρας Θεογονίαν. Ταῦτα δὲ 6) ὅ, τε λίθος 7) καὶ ἡ κατάποσις ἀλληγορίας γενναίας ἔχονται· καὶ ἡ τοῦ Διὸς βοήθεια ἡ παρὰ τῆς Θέτιδος,

Ὁππότε 8) μιν ξυνδῆσαι ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη 9).

Ὁ δὲ Λυκόφρων μυθικῶς πάντα γράφει.

Τάῤῥοθος 10)] Βοηθὸς ἡ Θέτις τοῦ Διός.

Κυναιθέως] Κυναιθεὺς ὁ Ζεὺς 11) ἐν Ἀρκαδίᾳ τιμᾶται, ἀγροτικοὶ 12) γὰρ καὶ κυνηγετικοὶ οἱ Ἀρκάδες, καὶ ἐν ταῖς κυνηλασίαις, καὶ ἐν θεύσεσι τῶν κυνῶν 13) ἐτίμων αὐτόν.

dorum, quibus reliquias Orphaicae Theogoniae diligentissime collegit. De Orphei Theogonia, quam Orphei esse negat Pausan. in Atticis p. 34, attribuunt tamen ei et Clemens Stromat. L. 6. p. 628, et Macrob. l. 1. in Somn. Scipionis c. 2, et complures alii, vid. Malalam p. 88. et Cedren. p. 46. Sebast. Add. Harles. in Fabric. Bibl. Gr. T. 1. p. 588. sqq.

6) ταῦτα δὲ usque ad πάντα γράφει absunt a Ciz. et Vit. 1.

7) ὅ, τε λίθος) Vitt. 2 et 3. ὅτι ὁ λίθος.

8) Ὁππότε) Hom. Il. α, 399 sq.

9) Παλλὰς Ἀθ.) Vitt. 2 et 3. Φοῖβος Ἀπόλλων. cf. Heyne Obseruatt. ad h. l.

10) τάῤῥοθος — a Seb. hic posita Vit. 1. et Ciz. cum edd. pr. adnectunt in seqq. In Vitt. 2 et 3. plane desunt.

11) ὁ ζεὺς) Vit. 1. et Ciz. omittunt.

12) ἀγροτ.) Vit. 1. et Ciz. ἀγρευταὶ: Vitt. 2 et 3. ἀγρῆται, quod voc. Lexica, quae extant, ignorant: ἀγρευτὴς ne Schneiderus quidem habet.

13) ἐν θεύσ. τῶν κυνῶν) Vit. 1. et Ciz. ἐν θηρεύσεσι τῶν θηρῶν, quod praeferrem, nisi ratio Etymologiae voc. κυναιθεὺς esset habenda, nam θεῦσις ne in Glossar. quidem mediae et infimae Graecitatis, nedum in Lex. Schneideri obvium, quamquam e Scholio nostro in Hederici Lex. ab Ernestio edito. Vit. 2. vt edd. ante Pott. ἐν θηρεύσεσι κυνῶν: Vit. 3. modo ἐν θηρεύσεσι.

401. Τύμβος δὲ γείτων] Ἡ Λητοῦς ἀδελφὴ Ἀστερία φεύγουσα τὴν τοῦ Διὸς μίξιν μετέβαλεν [1]) ἑαυτὴν εἰς ὄρτυγα καὶ ἥλατο [2]) εἰς τὴν θάλασσαν, καὶ γέγονε [3]) νῆσος, ἥτις ἀπ' αὐτῆς [4]) Ὀρτυγία [5]) καὶ Ἀστερία ἐκαλεῖτο. Ὕστερον δὲ τοῦ Διὸς συγγενομένου τῇ Λητοῖ [6]) καὶ ποιήσαντος αὐτὴν ἔγκυον [7]) Ἄρτεμιν καὶ Ἀπόλλωνα, ζήλῳ δὲ τῆς Ἥρας [8]) μήτε ἐν γῇ μήτε ἐν θαλάσσῃ ὑποδεχομένης [9]) τῆς Λητοῦς πρὸς ἀπότεξιν κελεύει τῷ Ποσειδῶνι Ζεὺς, καὶ ἀνέδωκε ταύτην τὴν νῆσον τὴν Ὀρτυγίαν [10]),

1) μετέβαλ.) Vit. 1. et Ciz. μετέβαλλεν, ſed Vitt. 2 et 3. cum Eudoc. quae eadem tradit pag. 81 et 277. μετέβαλεν.

2) ἥλατο) Sic quoque Eudocia: noſtri ἥλλατο, perperam.

3) γέγονε) Vitt. 2 et 3. cum Eudoc. ἐγένετο.

4) ἀπ' αὐτῆς) Vit. 1. et Ciz. ἐκ ταύτης. Vit. 3. cum Eudoc. omittit.

5) ὀρτυγία) Sic Vit. 1. et Ciz. cum Eudoc. ſed Vitt. 2 et 3. ὀρτυγία, perperam, cf. Strab. X, p. 486, et Plin. H. N. IV, 12. De Aſteria cf. Apollod. I, 4, 1. quem ſecutus videtur Tzetzes, et Heyne in Obſeru. ad h. l. Creuzer in Fragm. Hiſt. p. 217, et Nat. Com. IX, 6.

6) τῇ λητοῖ) Sic Vit. 1. et Ciz. male tamen omiſſo τοῦ Διός.

7) ἔγκυον) Sic noſtri cum Eudoc. p. 277, recte. Schol. Apoll. Rh. II, 124, ἡ λητὼ ἔγκυος οὖσα. A Seb. ἔγγυον temere receptum. Verba quae in edd. omnibus ſequuntur, ἔμελλε γεννῆσαι, noſtri cum Eudocia delent. Sane abeſſe poſſunt ac debent. Gloſſatoris eſſe videntur non intelligentis dicendi, qua Tzetzes vtitur, rationem ἔγκυον ποιεῖν υἱὸν, h. e. *concipere ex aliquo filium.* cf. ad v. 1232, vbi dic. ſimili modo ἔγκυον εἶναι Σίλβων.

8) τῆς Ἥρας) Sic pro Ἥρας noſtri cum Eudocia.

9) ὑποδεχ. τῆς λητ.) Sic etiam Eudoc. et Vitt. 2 et 3. ſed Vit. 1. et Ciz. vt edd. ante Potter. ὑποδεχομένη τῇ λητοῖ, forte τὴν λητὼ, vt referretur ὑποδ. ad γῇ et θαλάσσῃ. Hinc Nat. Com. IX, 6. *Terra vniuerſa coacta eſt iurare, quod parturienti Latonae locum non concederet.*

10) ὀρτυγίαν) Vitt. 2 et 3. cum Eudoc. ὄρτυγα. De inſula Ortygia cf. Voſſ. in: *Alte Weltkunde* p. XI. in: *Jenaiſche Litt. Zeit.* 1804.

τὴν καὶ Ἀστερίαν [11]) λεγομένην, πρότερον κρυπτομένην τοῖς ὕδασιν [12]), ἔτι δὲ καὶ ὑποτρέμουσαν [13]), ἐκ τοῦ Φανῆναι αὐτὴν Δῆλον ὠνόμασαν [14]). Ἐκεῖ οὖν ἐλθοῦσα ἡ Λητὼ, καὶ δάφνης καὶ φοίνικος ἐκεῖ πρῶτον [15]) φανέντων ἁψαμένη τὴν Ἄρτεμιν γεννᾷ. Ἡ δὲ ταύτην μαιεύει, καὶ τίκτει τὸν Ἀπόλλωνα [16]). Καὶ Ἄρτεμις μὲν τὴν Δῆλον κατῴκησεν [17]), Ἀπόλλων δὲ εἰς Λυκίαν ἀπῆλθεν.

Ὄρτυγος πτερουμένης] Ὄρτυγα πτερουμένην [18])

11) τὴν καὶ Ἀστ.) Sic Vit. 1. et Ciz. recte: reliqui cum Eudoc. art. τὴν ignorant.

12) ὕδασιν) Noſtri cum Eudoc. tuentur vulg. κύμασιν. Nat. Com. l. l. *ſub vndis.* E gloſſa eſſe videtur ὕδασιν.

13) καὶ ὑποτρέμ.) Auctoritate Codd. noſtrorum et Eudociae addidimus καὶ et ſuſtulimus additum τῷ φόβῳ, haud dubie ab imperito gloſſatore illatum, nam non ſignificat: *inſulam adhuc metu trepidantem*, ſed, vt Statius Achill. I, 388. *Nec inſtabili fama ſuperabere Delo*, et Nat. Com. l. l. interpretatus eſt: *cum eſſet inſtabilis per illud tempus*, h. e. modo huc modo illuc ſub vndis volueretur, et quaſi fugeret. Nam ὑποτρέμειν ſ. ὑποτρέειν eſt i. q. lat. trepidare, hinc illinc currere, cf. Hom. Il. η, 217. vbi ſchol. ὑποτρέειν· ὑποφυγεῖν: contra ἀτρεμεῖν, quieſcere, non moueri. Ipſe Tzetzes, optimus ſui ipſius interpres h. l., ad v. 402. διὰ τὸ σείεσθαι πάλαι τὴν Δῆλον nominatam fuiſſe dicit Τρέμων. cf. quoque Lucian. in Dial. 19. Iridis et Neptuni, vbi dic. inſula πλέουσα, et ὕφαλον ἐπινήχεσθαι συμβέβηκε. Sic dic. Callimacho in Del. v. 274. πλαγκτὴ, cf. ibi Spanheim et ad v. 11.

14) ὠνόμασαν) A Seb. pro ὠνόμασεν, quod Eudoc. cum Vitt. 2 et 3. exhibent, poſitum confirmant Vit. 1. et Giz. et Nat. Com. qui habet: *Vocata fuit Delus.*

15) πρῶτον) Pro πρότερον recepimus e Vitt. 2. 3. et Eudoc. Vit. 1. et Ciz. πρώτως.

16) τίκτει τὸν Ἀπόλλ.) Eudocia addit: καὶ Ἄρτεμιν.

17) κατῴκησεν) A Seb. poſitum pro κατέσχεν, quod eſt in Vit. 1. et Ciz. Eudocia vero et Vitt. 2 et 3. κατέλαβεν, ſed ἀπῆλθεν pro κατῆλθεν noſtri quoque exhibent cum Eudocia.

18) ὄρτυγος πτερουμ.] ὄρτυγα πτερ.) Sic hunc locum

τὴν Δῆλον εἶπε, δι' ἃ [19]) εἴπομεν περὶ τῆς Ἀστερίας [20]). Γείτων δέ ἐστιν ἡ Μύκων νῆσος τῆς Δήλου, ἔνθα Αἴας τέθαπται.

402. Τρέμων] ὀνομαστικῶς οὕτω καλεῖ [1]) χωρίον παρὰ τῇ Δήλῳ, ἔνθα ὁ Αἴας τέθαπται. Εἰκότως δὲ οὕτως κέκληται διὰ τὸ σείεσθαι πάλαι τὴν Δῆλον. Ἡ δὲ ἔννοια τοιαύτη· Ὁ δὲ Τρέμων, ὄνομα χωρίου [2]), ὁ τύμβος δηλονότι τοῦ Αἴαντος, ὁ γείτων τῆς Ὄρτυγος τῆς πτερουμένης, ἤτοι τῆς Δήλου φυλάξει τὸν ῥόχθον καὶ ἦχον τῆς Αἰγαίας ἁλὸς, τοῦτ' ἔστιν, ἀποθανὼν ὁ Αἴας οὐκ ἔτι κλυδωνισθήσεται. Καὶ τοῦτο τὸ σχῆμα [3]) χαριεντισμός ἐστιν· ἐν τῷ Τρέμοντι [4]) γὰρ χωρίῳ τῆς Δήλου [5]) Αἴας ὁ Λοκρὸς κεῖται πλησίον Τήνου καὶ Μύκονος, αἵτινες νῆσοι περὶ τὸ Αἰγαῖον πέλαγος κεῖνται. Αἰγαῖον δὲ τὸ πέλαγος [6]) καλεῖται, ὅτι δίκην αἰγὸς κυματοῦται.

403. Καστνίαν] τὴν Ἀφροδίτην, τὴν μοιχαλίδα [7]). Καστνίαν δὲ τὴν ἀδελφοποιὸν, τοὺς γὰρ ξένους, ἀδελφοὺς καὶ φίλους τὰ ἐρωτικὰ ποιοῦσιν [8])· οἱ γὰρ

restituimus e Vitt. 2 et 3. cf. *Eustath. ad Dionys. Perieg. v.* 524. Thryllit.

19) δι' ἃ) Vitt. 2 et 3. δι' ὃ l. διό.

20) τῆς Ἀστ.) Nostri non bene τὴν Ἀστερίαν. Hinc vsque ad ἡ δὲ ἔννοια v. 402. desiderantur in Vitt. 2 et 3.

1) καλεῖ) Vit. 1. et Ciz. καλεῖται, bene.

2) χωρίου) Vitt. 2 et 3. χώρας. In Vit. 1. et Ciz. neque χωρίου neque χώρας extat.

3) τὸ σχῆμα) A Seb. restitutum nostri comprobant.

4) τρέμοντι) Vitt. 2 et 3. τρέμονι. *Testatur etiam Eustath. ad Odyss.* κ, *p.* 1644, 51. Seb. Cf. infra ad v. 1141.

5) χωρίῳ τ. Δήλ.) h. e. *iuxta Delum.* cf. ad v. 384. Vitt. 2 et 3. iterum χώρᾳ.

6) τὸ πέλαγ.) Legunt nostri cum Seb. Editt. prior. haec omittunt.

7) μοιχαλ.) Bene. Vit. 1. et Ciz. μοιχείαν. Vit. 3. praetermittit.

8) ποιοῦσιν) Vitt. 2 et 3. ποιοῦνται.

ἐρῶντες 9) φωραθέντες λέγουσιν· ἀδελφή 10) μου ἢ συγγενής μού ἐστι.

Μελιναίαν 11)] αὐτὴν τὴν Ἀφροδίτην 12) διὰ τὸ ἡδὺ τῆς συνουσίας.

404. Λυπρὸς παρ' Αἴδην] ὁ λυπηρὸς παρὰ τὸν Αἴδην δεννάσει καὶ ὑβρίσει. Καὶ τοῦτο τὸ σχῆμα χαριεντισμός ἐστιν.

405. Ἥ μιν παλεύσει] ἥτις Ἀφροδίτη, ἤγουν αὐτὸς ὁ Ἔρως παλεύσει καὶ ἀγρεύσει μὶν καὶ αὐτὸν τὸν Αἴαντα 1) ἐν βρόχοις, καὶ δικτύοις τοῦ οἴστρου, ἤτοι τῆς ἀκολασίας 2), ὑφ' ἧς, ὡς ληροῦσιν, ἐν τῷ ναῷ τῆς Ἀθηνᾶς τῇ Κασσάνδρᾳ ἐμίγη.

Οἴστρου] Οἶστρος ζωΰφιόν 3) ἐστι σμικρότατον, ὃ ἐγγινόμενον ταῖς μασχάλαις τῶν βοῶν ἢ τοῖς ὠσὶν, ἐκμαίνει αὐτοὺς, καὶ ἄγει κατὰ κρημνῶν καὶ θαλάσσης καὶ πυρός. Εἰ τύχοι 4) δὲ καὶ τοῖς ἰχθύσι ὁ οἶστρος γενόμενος, ἐξωθεῖ τούτους ἐκ τῶν ὑδάτων ἐπὶ τὴν γῆν 5).

406. Ἐριννύων] Αἱ Ἐριννύες μυθικῶς 6) τρεῖς εἰσὶ δαίμονες τιμωρητικαὶ 7), ὧν τὰ ὀνόματα Τισιφόνη,

9) ἐρῶντες) Vit. 1. et Ciz. ἔρωτι, non inepte.

10) ἀδελφή) Pro ἀδελφὸς recepimus e Vit. 1. et Ciz. Deinde μου a Seb. additum nostri quoque addunt.

11) Μελιν.) Vit. 1. μελινναίαν. *Steph. Byz. ab vrbe Melina dici Venerem Melinaeam tradit.* Sebast.

12) αὐτὴν τ. Ἀφρ.) Nostri seruant vulg. τὴν αὐτὴν.

1) παλ. καὶ ἀγ. — αἴαντα) Ita hunc locum ope Vit. 1. et Ciz. correximus. Vulg. μὶν καὶ αὐτὸν ἀγρεύσει.

2) ἀκολασ.) Nostri cum Pott. pro ἀκρασίας, quod Seb. perperam reuocauit, nam videtur ex interpretatione τοῦ· ἀκολασίας.

3) ζωΰφιον) *Vid. Aristot. Hist. Anim.* VIII, 59. Seb.

4) καὶ πυρός — τύχοι) Absunt a Vit. 1. et Ciz. Deinde hunc locum sic emendauimus ope Vitt. 2 et 3. vti iam legitur, quum vulg. perperam εἰ τύχοι ad superiora retraheret.

5) ἐπὶ — γῆν) Vit. 1. et Ciz. εἰς τ. γῆν: Vitt. 2 et 3. εἰς γῆν.

6) μυθικῶς) Abest a Ciz. et Vit. 1.

7) τιμωρητικαὶ) Seb. suppleuisse iactitat, quum in

Μέγαιρα καὶ Ἀληκτώ. Καὶ κατὰ μὲν Ἡσίοδον [8]) καὶ τοὺς [9]) λοιποὺς ἐκ τῶν σταγόνων τοῦ αἵματος τῶν αἰδοίων τοῦ Οὐρανοῦ [10]) ἐγένοντο· κατὰ δὲ Αἰσχύλον [11]) Ἐρινύες [12])·

. . . . . Νυκτὸς αἰανῆς τέκνα.

Καὶ Ἐπιμενίδης [13]) ἐκ Κρόνου, ὡς Ἡσίοδος, ταύτας φησὶ γενέσθαι λέγων οὕτως·

Γήματο δ' Εὐονύμην θαλερὸν Κρόνος ἀγκυλομήτις [14]),
Ἐκ τοῦ καλλίκομος γίνετο χρυσῆ Ἀφροδίτη
Μοῖραί τ' ἀθάνατοι καὶ Ἐριννύες αἰολόδωροι.

Ἀλληγορικῶς δὲ Ἐριννύες αἱ τιμωρητικαὶ δυνάμεις [15]) παρὰ τὸ ἐν τῇ ἔρᾳ καὶ τῇ γῇ [16]) ναίειν ἢ παρὰ τὸ τὰς ἀρὰς ἀνύειν. Τισιφόνη οὖν [17]) παρὰ τὸ τίειν [18]) τοὺς

Codd. MSS. et edd. pr. omnibus, excepta Potter. 2. reperiatur. Eudocia p. 151. καταχθόνιοι τιμωρητικαί.

8) Ἡσίοδ.) Theog. 183 sqq.

9) τοὺς) Exhibent cum Seb. Vitt. 2 et 3. vti etiam Eudoc. addito voc. ποιητάς.

10) οὐρανοῦ) Pro κρόνου e Vit. 1. et Ciz. vti etiam auctoritate Hesiodi recepimus.

11) Αἰσχύλ.) Eumenid. v. 419.

12) Ἐριν.) Perperam a Seb. eiectum ope nostrorum Codd. reuocauimus, nam non ad Aeschylum, sed ad textum Tzetzae pertinet.

13) καὶ Ἐπιμενίδ.) Scl. in Theogonia deperdita. cf. Fabric. Bibl. Gr. Vol. I, p. 32. ed. Harl. vbi vero neque horum versuum, neque Tzetzae fit mentio. Caeterum tenendum est, in Vitt. 2 et 3. καὶ Ἐπιμενίδης — Ἡσίοδος desiderari: in Ciz. vero et Vit. 1. cum voc. λέγων versus allatos.

14) γήματο — ἀγκυλ.) A Seb. addita Vitt. 2 et 3. cum edd. pr. non addunt.

15) δυνάμεις) Vit. 3. θεαὶ praeponit.

16) καὶ τῇ γῇ) A Seb. emendatum pro ἤτοι τῇ γῇ comprobant Vitt. 2 et 3. Vnum autem idemque est Tzetzae καὶ et ἤτοι: ergo vtraque lectio proba.

17) οὖν) Vitt. 2 et 3. neque οὖν, quod Seb. protulit, neque δὲ, vt edd. vett.

18) τίειν) Ciz. et Vitt. 1. 2. τίνειν; Vit. 3. cum Eu-

φονέας, Μέγαιρα παρὰ τὸ μεγαίρειν καὶ φθονεῖν τοῖς κακοῖς [19]), Ἀληκτὼ δὲ παρὰ τὸ μὴ λήγειν τοῦ [20]) τιμωρεῖν τοὺς τοιούτους. Κρόνου δὲ καὶ Νυκτὸς παῖδες διὰ τὸ ἀφανῶς καὶ ἀοράτως τὰς ἐκδικητικὰς [21]) ταύτας δυνάμεις ἐπέρχεσθαι.

408. Ἄπασα δ' ἄλγη] Συνοπτικῶς φησὶν [1]), ὅτι πᾶσα ἡ Ἑλλὰς στενάξει [2]) διὰ την ἐμὴν βίαν [3]) τὴν ἐν τοῖς γάμοις· πολὺ γὰρ πλῆθος Ἑλλήνων τὸ μὲν ναυαγῆσαν βρωθήσεται κτήνεσσι [4]) θαλασσίοις, οἱ δὲ τοῖς ἀνέμοις εἰς ξένην γῆν ἐξωσθέντες [5]) ἐκεῖ θανατοῦνται [6]).

409. Ἄραιθος] ποταμὸς Ἠπείρου, οὗ καὶ Καλλίμαχος [7]) μέμνηται λέγων οὑτωσί·

Αἱ δὲ βοοκράνοιο [8]) παρ' ἀγκύλον ἴχνος Ἀρκίθου.

410. Λειβήθριαι] Λείβηθρα καὶ Λειβηθρία [9])

doc. et Phauor. τιννύειν, vti etiam φονεῖς pro φονέας. Editt. ante Pott. 2. male θύειν pro τίειν.

19) τοῖς κακ.) Vit. 1. et Ciz. vt ſupra cum Accuſat. τοὺς κακούς.

20) τοῦ) Noſtri ignorant.

21) ἐκδικητ.) Vit. 3. ἐνεργητικὰς cum Eudocia et Phauor.

1) φησὶν) Abeſt a Vit. 1. et Ciz.

2) στενάξει) Pro στενάζει cum Seb. Vit. 1. et Ciz.

3) βίαν) Vit. 1. et Ciz. non inepte ponunt poſt γάμοις.

4) κτήνεσ.) Pro κήτεσι Vit. 1. et Ciz. recte, nam κῆτος non niſi θαλάσσιον. Sic infra v. 413. θαλ. θηρῶν.

5) ἐξωσθέντες) Pro ἐξωθέντες recte Vit. 3. ξενωθέντες Vit. 1. et Ciz. etiam bene.

6) θανατοῦνται) Vit. 1. et Ciz. pro θανοῦνται, recte, Thryllit.

7) οὗ καὶ καλλ.) Vitt. 2 et 3. ὡς καὶ καλλίμ. ſubductis μέμνηται λέγων οὑτωσί. Vit. 1. et Ciz. φησὶ γὰρ pro λέγων οὑτωσί. Eſt Fragm. 203. p. 387. ed. Spanh. et p. 516. ed. Erneſti.

8) βοοκρ.) Vit. 1. et Ciz. βουκρήμνοιο: Vit. 2. βοήμοι κρήμνης, vt Barocc. Vit. 3. βοήμοι κρήμνοις.

9) καὶ λειβηθρία) Addunt bene Vit. 1. et Ciz.

πόλις Μακεδονίας [10]), ὅθεν ἦν Ὀρφεὺς, ὥς φησιν αὐτός [11])·

Νῦν δ' ἄγε μοι κούρη Λειβηθριὰς ἔννεπε Μοῦσα.

Δωτίου πύλαι] Δώτιον ἀκρωτήριον Ὀλύμπου, συνάπτον τοῖς Λειβήθροις [12]). Πύλας δὲ εἶπεν, ὅτι εἰς στενὸν [13]) λήγει τὸ Δώτιον καὶ συγκλείει δίκην πυλῶν [14]). Συναπτέον οὖν τὸ Δώτιον τοῖς Λειβηθρίοις, καὶ λέγε, ὅτι ὅσην γῆν ἔχουσιν ἐν τῷ μέσῳ ὁ Ἄραιθος ποταμὸς [15]), καὶ τὸ Δώτιον ἀκρωτήριον, (ἔχουσι δὲ τὴν Ἑλλάδα πᾶσαν, καθόπερ τὸ μὲν Δώτιον ἐν Μακεδονίᾳ, ὁ δὲ Ἄραιθος ἐν Ἠπείρῳ, σχεδὸν δὲ [16]) τὰ ἄκρα τῆς Ἑλλάδος οὗτοι οἱ τόποι [17]) εἰσὶν, ὥσπερ εἴ τις ἄκρα τῆς Θρᾴκης εἴποι τὸ Βυζάντιον καὶ τὴν Αἶνον) οὗτοι οἱ τόποι, φησὶ, θρηνήσουσι διὰ τοὺς ἐμοὺς γάμους.

10) πόλις Μακεδον.) Alii Thessaliae, alii Thraciae, alii Boeotiae: quomodo haec diuersitas sit concilianda, optime docuit Tzschucke ad Pomp. Mel. Vol. III, P. II, p. 179.

11) ὥς φησ.) Pro ὅς φ. Vitt. 2 et 3. cum Sebast. recte, sed αὐτὸς non exhibent. Idem versus iam supra ad v. 275. laudatur, sed ibi πιμπληϊὰς pro λειβηθριάς. Io. Tzetz. citat hunc versum quoque in Chil. VII, v. 948. verum ibi habet λειβηθρὶς pro λειβηθριὰς, forte rectius. Ap. Pauf. IX, 34, 3. tamen λειβηθριὰς πηγή. Vitt. 2 et 3. cum Phauor. legunt λειβηθρίαν. Reperitur iam in Orphei Fragm. 46, p. 499, ed. Herman. quem consulas velim.

12) συνάπτ. τ. λειβ.) Nostri συναπτέον λειβηθρίοις, forte leg. συναπτόν.

13) εἰς στενὸν) Vitt. 2 et 3. εἰς τὸ στενόν.

14) πυλῶν) Hinc addunt Vit. 1. et Ciz. συναπτέον οὖν τὸ Δώτιον τοῖς λειβηθρίοις, καὶ λέγε, pro λέγει δὲ, quod etiam quin reciperemus, non dubitauimus, nam λέγει vix ad Lycophronem referri potest. Forsan pertinet ad Cassandram loquentem.

15) ποταμὸς) Delent nostri, vti mox ἀκρωτήριον.

16) σχεδὸν δὲ) Nostri δὲ tollunt, non bene.

17) οἱ τόποι usque ad Αἶνον desunt in Ciz. et Vit. 1.

411 — 12. Οἷς οὐμὸς] οἷστισιν ἀνθρώποις καὶ ἄχρις Αἴδου θρῆνος ἔσται διὰ τοὺς ἐμοὺς γάμους [1]). Ἀχερουσία δὲ λίμνη ἐστὶν Ἡρακλείας [2]) τοῦ Πόντου, ὡς καὶ ποταμὸς Ἀχέρων, ὃς νῦν καλεῖται Σαωναύτης [3]). Μυθικῶς δὲ Ἀχερουσία καὶ Ἀχέρων λίμνη καὶ ποταμὸς τοῦ Αἴδου [4]) παρὰ τὸ ἄχη καὶ θλίψεις ῥέειν τοὺς τῶν τεθνηκότων συγγενεῖς.

413 — 16. Πολλῶν γὰρ] πολλῶν γὰρ ἐν σπλάγχνοισι καμπέων καὶ κητῶν τυμβευθήσεται νήριθμος καὶ ἀμέτρητος ἐσμὸς βρωθεὶς ἐν πολυστοίχοισι [5]) καμπέων γνάθοις ἀντὶ τοῦ· καταβρωθήσεται ὑπὸ τῶν θαλασσίων θηρῶν [6]), κάμπη γὰρ τὰ κήτη.

417 — 20. Τὸν μὲν γὰρ Ἠιὼν] τὸν μὲν [1]) γὰρ κουροτρόφον πάγουρον (λέγει δὲ τὸν Φοίνικα) καὶ [2]) τὸν πατρὶ πλεῖστον ἐστυγημένον καὶ μισηθέντα ἀπὸ τῶν βροτῶν (ὅστις [3]) ὁ πατήρ μιν καὶ αὐτὸν ἔθηκεν ὅμηρον καὶ

forte focordia librariorum, quia verba οὗτοι οἱ τόποι mox repetuntur.

1) οἷς οὐμὸς — γάμους) Noftri Codd. non habent.

2) Ἡρακλ.) H. e. prope Heracleam: Pomp. Mel. II, 19. iuxta fpecus Acherufia.

3) Σαωναύτης) Sic quoque infra v. 695. Vit. 1. et Ciz. σοωναύτης: Vitt. 2 et 3. σωναύτης, mendofe, nam Apollon. Rh. II, 746. quoque σαωναύτης, cf. ibi fchol.

4) τοῦ Αἴδου) Vit. 1. et Ciz. ἐν Αἴδῃ. Thryllit. putat primitus fuiffe ἐν Αἴδου.

5) πολυστ.) Vitt. 2 et 3. πολυπτύχοις, fed feq. καμπέων noftri ignorant, vt ante Potter.

6) θηρῶν) Vit. 3. θηρίων. Vt vbiter moneam, in Lex. Schneideri κάμπη perperam e Lycophrone citatur, vt nomen fingularis Numeri, et cum κάμπη, eruca, confunditur, quum κάμπη fit pluralis a κάμπος, vt recte Reichard. in Indice, et vt e fchol. patet, quod vero voc. κάμπος in Lexicis adhuc deeft.

1) τὸν μὲν usque ad πόλις τοῦ στρυμόνος in Vit. 1. et Ciz. non male pofita funt ad v. 419.

2) καὶ τὸν) Praeponunt καὶ Vitt. 2 et 3. bene.

3) ὅστις) Abeft a Vit. 1. et Ciz.

τυφλὸν, ὁπότε ηὐνάσθη εἰς τὸ νόθον λέχος τῆς τρήρωνος, ἤγουν ὅτε ἐμίγη τῇ τοῦ πατρὸς παλλακῇ [4])) τοῦτον κρύψει ἡ Ἠιὼν ἢ ἡ Χρυσόπολις ἢ Ἀμφίπολις [5]) πόλις τοῦ Στρυμόνος [6]), ἡ Βισαλτία καὶ Θρακικὴ [7]), ἡ ἄγχουρος [8]) καὶ γείτων τῶν Ἀψυνθίων [9]) καὶ Βιστόνων, οἵτινές εἰσιν ἔθνη Θρᾳκικὰ πέλας Ἠδωνῶν καὶ Μακεδόνων [10])· κρύψει δὲ πρὸ τοῦ αὐγάσαι καὶ ἰδεῖν τὸ Τυμφρηστὸν λέπας καὶ ἀκρωτήριον τῶν Μακεδόνων.

Ἠιὼν] πόλις Θρᾴκης ἐπὶ Στρυμόνι, ἔνθα τὸν Φοίνικα τελευτήσαντα [11]) ἔθαψεν ὁ Νεοπτόλεμος, ἡνίκα ἔπλει ἐπὶ τὴν πατρίδα. Περὶ δὲ τὴν Ἠιόνα [12]) ταύτην καὶ Ἀθηναῖοι τοὺς Μήδους ἐνίκησαν καὶ ἔστησαν τοῖς νικήσασιν οἱ λοιποὶ Ἀθηναῖοι [13]) Ἑρμᾶς τρεῖς λιθίνους ἐπιγράψαντες [14]) ἐν ἑκάστῳ τῶν Ἑρμῶν, ἐπὶ μὲν τῷ πρώτῳ οὕτως·

4) παλλακῇ) Vitt. 2 et 3. παλλακίδι.

5) ἢ ἡ Χρυσόπ. — Ἀμφίπολις) In noſtris non comparent.

6) τοῦ στρυμ.) Vit. 1. et Ciz. τῆς στρυμόνης, mendoſe.

7) καὶ θρακ.) Vit. 1. et Ciz. καὶ ἡ θρακ.

8) ἄγχουρ.) Vit. 2. ἡ ἔγχουρα: Vit. 3. ἔγχουρος, non bene.

9) Ἀψυνθ.) Vitt. 2 et 3. ἀψινθίων per Iota, vt Dionyſ. Perieg. v. 575. Hecataeus ἐν Εὐρώπῃ ap. Steph. Byz. ad χεῤῥόνησος. Ipſe Steph. ad Ἄψυνθος, διχῶς, inquit, ἡ γραφὴ, καὶ διὰ τοῦ υ, καὶ διὰ τοῦ ι. Infra quoque Ciz. et Vit. 1. per Iota.

10) Μακεδ.) Deleuimus praemiſſum τῶν cum Vit. 1. et Ciz. vt reſpondeat τῷ Ἠδωνῶν. Vitt. 2 et 3. poſt Ἠδωνῶν verba Lycophronis ſic dant: καὶ κρύψει πρινη τύμφρηστὸν αὐγάσαι λέπας τῶν Μακεδόνων, deinde pergunt: κρύψει δὲ etc. quibus Seb. addidit τῶν Μακεδόνων.

11) τελευτ.) Abeſt a noſtris.

12) περὶ — Ἠιόνα) Noſtri male Ἠόνα, cf. Harpocrat. ad Ἠιών. Haec vero usque ad μέμνηται Vit. 1. et Ciz. ad extr. v. 418. adiiciunt.

13) Ἀθηναῖοι) Vitt. 2 et 3. Ἀθηναίων.

14) ἐπιγρ. — οὕτως) Noſtri cum edd. pr. καὶ ἐπίγραψαν.

Ἦν [15]) ἄρα κἀκεῖνοι ταλακάρδιοι [16]), οἵ ποτε Μήδων
Παισὶν ἐπ' Ἠϊόνι Στρυμόνας ἀμφὶ [17]) ῥοὰς
Λιμόν τ' αἴθωνα κρατερόν τ' ἐπάγοντες Ἄρηα [18])
Πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.

ἐπὶ δὲ τῷ δευτέρῳ οὕτως [19])·

Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ' ἔδωκαν
Ἀντ' εὐεργεσίης καὶ μεγάλης ἀρετῆς.
Μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
Ἀμφὶ ξυνοῖσι πράγμασι μόχθον ἔχειν.

ἐπὶ δὲ τῷ τρίτῳ οὕτως·

Ἔκ ποτε τῆσδε πόληος ἅμ' Ἀτρείδῃσι Μενεσθεὺς
Ἡγεῖτο ζάθεον Τρωϊκὸν ἀμπεδίον,
Ὅν ποθ' Ὅμηρος ἔφη Δαναῶν πύκα χαλκοχιτώνων
Κοσμήτορα μάχης ἔξοχον ἄνδρα μελεῖν.
Οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
Κοσμητὰς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

Τούτων δὲ τῶν ἐπιγραμμάτων Αἰσχίνης ὁ ῥήτωρ [20]) μέμνηται.

Στρυμόνος [21])] Στρυμὼν ποταμὸς Θρᾴκης. Βυσάλται δὲ καὶ Ἀψύνθιοι καὶ Βίστονες ἔθνη Θρᾳκῶν [22])· ὅθεν καὶ [23]) Ἀπολλώνιος περὶ Ὀρφέως λέγει·

Βιστονίῃ φόρμιγγι λιγείης ἦρχεν [24]) ἀοιδῆς.

15) ἦν) Vit. 1. et Ciz. ἦν, forte referendum ad ἀμηχανίην.

16) ταλακαρδ.) Vitt. 2 et 3. vitiose τελαρκάδιοι.

17) στρυμ. ἀμφὶ) Vit. 1. et Ciz. στρυμόνος τ' ἀμφὶ, contra metrum.

18) ἐπάγ. Ἄρ.) Vit. 1. et Ciz. ἐπάγον τ' Ἄρηα.

19) ἐπὶ — δευτέρῳ usque ad τούτων δὲ τῶν ἐπιγρ. a Seb. addita noſtri cum edd. pr. non addunt.

20) ὁ ῥήτωρ) Abeſt a Vit. 1. et Ciz. *Aeſchines contra Cteſiphontem circa finem*, *vbi Taylorum videas*. Seb.

21) στρυμόνος — βυσάλται δὲ καὶ) Vitt. 2 et 3. ignorant.

22) θρᾳκῶα (θρᾳκῶν)) Vit. 2. θρακαῖα: Vit. 3. θρακεῖα.

23) καὶ) E Vit. 1. et Ciz. reſtituimus. Eſt in Apoll. Rh. II, 704.

24) λιγ. ἦρχεν) Ante Seb. edd. καλῆς ἐξῆρχεν: noſtri Codd. καλῆς ἐξῆδεν, quae lectio haud dubie in Cod. quo vtebatur Tzetzes, exſtabat.

Βίστονες δὲ ἀπὸ υἱοῦ Ἄρεος Βίστονος [25]) ἢ καὶ υἱοῦ [26]) Τερψιχόρης.

Ex 419. Κουροτρόφον πάγουρον] κουροτρόφον τὸν Φοίνικα λέγει, διότι [1]) παῖδα ὄντα Ἀχιλλέα ἀνέτρεφε [2]), πάγουρον δὲ τὸν αὐτὸν [3]) διὰ τὸ γηραιὸν καὶ σκληρόδερμον εἶναι [4]), ὥσπερ γὰρ οἱ πάγουροι σκληρὰν ἔχουσι τὴν ἐπιφάνειαν, οὕτω καὶ οἱ γέροντες. Κουροτρόφον δὲ εἶπε πάγουρον πρὸς ἀντιδιαστολὴν τοῦ πιννοτρόφου παγούρου· ἔστι γὰρ πάγουρος μικρὸς, ὃς τὴν θαλασσίαν [5]) πίνναν τρέφει, καθά φησιν ὁ Ὀππιανός.

Ἠδωνῶν] Ἠδωνοὶ καὶ Ἤδωνες Θρακῶν ἔθνη· ἀλλ' οἱ μὲν Ἤδωνες παρὰ θάλασσαν [6]) οἰκοῦσιν, Ἠδωνοὶ δὲ τὴν μεσόγαιαν.

25) Βίστονος) Sic malim, quam Βιστόνου, nixus auctoritate Vit. 3. schol. Apollonii II, 704: ὠνομάσθη ἀπὸ Βίστονος τοῦ Κίκονος, ὡς Φιλοστέφανος ἱστορεῖ, et Steph. Byz. ad Βιστωνία, vbi Thryllit. e loco nostro verba corrupta: ἔνιοι δὲ Παίονος τοῦ Ἄρεος παιδὸς mutat in: ἔνιοι δὲ Βίστονος τ. Ἄρ. π. et de lectione Βίστονος L. Holsten. p. 68, b. et Berkel. p. 225. ad Steph. confert.

26) ἢ καὶ υἱοῦ) Sic Vit. 3. Reliqui ignorant καὶ, vti Vit. 1. et Ciz. quoque voc. υἱοῦ. Verba, quae in edd. pr. sequebantur post Τερψιχόρης: ὡσαύτως δὲ καὶ Ἠδωνοὶ, ἔθνος Θρᾴκης, a Seb. sublata nostri quoque tollunt.

1) διότι) Nostri, vt edd. pr. ὅτι. Ordo verborum hic a Seb. immutatus in Codd. nostris est fere idem, qui in edd. vett.

2) ἀνέτρεφε) Vit. 1. et Ciz. ἀνέθρεψε: Vitt. 2 et 3. ἔτρεφε.

3) τὸν αὐτὸν) Nostri ignorant.

4) σκληρόδ. εἶναι) Nostri delent εἶναι, sed Vit. 1. et Ciz. his subnectunt, vti dedimus, ὥσπερ — οἱ γέροντες. Sed quid significat ἐπιφάνεια? haud dubie i. q. ἐπίφασις, externam speciem oris et corporis, vt ap. Polyb. II, 29, 1. III, 60, 6. XXVI, 5, 6.

5) θαλασσ.) Sic quoque Aelian. de Nat. Anim. III, 29. πίνναν nominat θαλάσσιον ζῶον, et καρκίνον, non vero πάγουρον, eius σύντροφον καὶ σύννομον: cf. ibi et ad Oppian. II, 190, qui hic laudatur, Schneider.

6) παρὰ θάλ.) Pro τὴν

Ex 420. Τυμφρηστὸν] Τυμφρηστὸς πόλις καὶ ὄρος Τραχῖνος ἀπὸ Τυμφρηστοῦ 7) τινος βασιλέως, ἢ Τέφραντος υἱοῦ Ἡρακλέος. Λέγεται δὲ τὸ ὄρος ἀρσενικῶς, ἡ δὲ πόλις θηλυκῶς, ὡς Εὐφορίων·

Βουκολέων 8) Τρυχινίδα Τυμφρηστοῖο αἰπῆς.

421 — 23. Τὸν πατρὶ πλεῖστον ἐστυγημένον βροτῶν] Φοῖνιξ ὁ Ἀμύντορος 1) ταῖς τῆς μητρὸς αὐτοῦ Κλεοβούλης 2) ἱκεσίαις μιγεὶς τῇ τοῦ πατρὸς αὐτοῦ 3) παλλακῇ Κλυτίᾳ ἢ Φθίᾳ κατά τινας ἐτυφλώθη παρ' αὐτοῦ. Φυγὼν δὲ ὁ Φοῖνιξ ἦλθε πρὸς Πηλέα, ὃς καὶ ἀπαγαγὼν 4) αὐτὸν πρὸς τὸν Χείρωνα ἔπεισεν ὑγιῆ γενέσθαι ὑπ' αὐτοῦ. Ταῦτα μὲν μυθικὰ 5), τὸ δ' ἀληθὲς οὕτως ἔχει· Μιγέντα γνοὺς αὐτὸν ὁ πατὴρ τῇ παλλα-

παραθαλασσίαν cum Seb. Vitt. 2 et 3. sed Vit. 1. et Ciz. περὶ τὴν θάλασσαν.

7) τυμφρηστοῦ) Nostri art. τοῦ praepositum tollunt. Scholiast. Lycophronem secutus seruat τυμφρηστοῦ, etsi Steph. Byz. et Etymolog. M. quos ad verbum fere reddit, τυφρηστοῦ. cf. nott. crit. ad Lycophr. Sed τέμφραιτος, quod Seb. cum vulg. exhibet, omnino mutandum in τέφραντος, vti nostri praeter Vit. 2. et Steph. Byz. ἀπὸ τοῦ τέφρας (τοῦ) Ἡρακλέους, et Etymol. M. ἀπὸ τοῦ Ἡρακλέος τέφρας.

8) Βουκολ. etc.) Vit. 1. et Ciz. βουκολέων τρηχινίδα τυμφρηστῆς αἰπῆς: Vitt. 2 et 3. vt Cod. Bar. βουκολίων τραχινίδου τυμφρηστὰς αἰπῆς. Voc. τρυχινίδα omnino corruptum, vt iam Potter. vidit, saltem mutandum in τρηχινίδα vel τραχινίδα.

1) ὁ Ἀμύντ.) Vitt. 2 et 3. addunt παῖς, quod haud dubie vel elisit seq. ταῖς, vel, quum abesse possit, vti ap. Apollod. III, 13, 8. vere abest, aliquis affinxit.

2) κλεοβ.) Nostri ignorant, cf. de toto hoc loco Heyne in Obseru. ad Apoll. p. 316. sqq.

3) αὐτοῦ) Reuocauimus e Vit. 1. et Ciz.

4) ὃς καὶ ἀπαγ.) Nostri, vt edd. ante Seb. καὶ ὃς ἀπαγ. Vit. 3. ἀγαγών.

5) ταῦτα μὲν μυθικὰ) Sic nostri, bene, pro καὶ τὰ μὲν τὰ μυθ.

κῇ αὐτοῦ 6), κατηράσατο μὴ τεκεῖν παῖδας, οὓς καὶ ὀφθαλμοὺς 7) λέγει. Ὁ δὲ Φυγὼν ἦλθε 8) πρὸς τὸν Πηλέα, ὃς καὶ ἀγαγὼν αὐτὸν εἰς τὸ ἄντρον 9) τοῦ Χείρωνος ἔδειξεν αὐτῷ τὸν Ἀχιλλέα ἐκεῖ παιδευόμενον καὶ παρέδωκεν αὐτὸν αὐτῷ εἰπών· Ὅδε ὁ υἱός σου 10), ἄναγε 11) οὖν αὐτὸν τοῦ λοιποῦ καὶ παίδευε, ὥσπερ 12) χρὴ πατέρα, φίλον ἀνάγειν υἱόν. Καὶ τούτου χάριν ἐμυθεύσαντο, ὅτι ἀπεκόμισεν αὐτὸν ὁ Πηλεὺς πρὸς τὸν Χείρωνα, καὶ ὃς ἐποίησεν αὐτὸν πάλιν βλέπειν. Καὶ ὁ Ὀππιανὸς 13) δὲ τὰ τέκνα φάεος φίλτερα καὶ βιότοιο λέγει. Ὅτι δὲ συμβολικῶς χρὴ νοεῖν τὴν τύφλωσιν τοῦ Φοίνικος διὰ τὸ 14) ἄπαιδα γενέσθαι, καὶ οὐχ, ὡς οἱ πολλοί φασι 15), πραγματικῶς 16). Καὶ Ὅμηρός φησιν ἐμοὶ συνᾴδων 17), λέγων ὡς ἀπὸ τοῦ Φοίνικος πρὸς τὸν Ἀχιλλέα·

6) τῇ παλλ. αὐτοῦ) Sic Vit. 1. et Ciz. pro τῇ παλλακ. positis quoque his verbis post πατὴρ, rectius.

7) ὀφθαλμοὺς) *Sic dici filios a graecis latinisque scriptt. docet Colomes. ad Quintil. Instit.* VI. *prooem.* Thryll. cf. ibi quoque Burman.

8) ἦλθε) Abest a Vit. 1. et Ciz. sed καὶ ὃς nostri iterum, vt antea, pro ὃς καί.

9) εἰς τ. ἄντρ.) Vit. 1. et Ciz. πρὸς τ. ἄντρ. Vitt. 2 et 3. εἰς τὰ ἄντρα.

10) ὅδε ὁ — σου) Pro ἰδοῦ ὁ — σου Vitt. 2 et 3. bene. Vit. 1. et Ciz. ἰδοῦ ὁ παῖς σου, vt postea ad v. 447.

11) ἄναγε) Pro ἄγαγε nostri cum Phauor. recte, nam hoc voc. proprie de educatione dicitur, et mox iteraur.

12) ὥσπερ) Vitt. 2 et 3. ὡς.

13) καὶ ὁ Ὀππ.) Vitt. 2 et 3. non male delent καί. *Oppian. de piscat.* II, 702 *et* 703. Sebast.

14) διὰ τὸ) Tollunt διὰ Vitt. 2 et 3.

15) φασι) Vit. 1. et Ciz. λέγουσι.

16) πραγματ.) Vit. 1. et Ciz. πραγματευτικῶς, non bene, nam barbare h. l. dic. *reuera*, *reapse*.

17) Ὅμηρός — συνᾴδων) Il. ι. 448 sqq. Omnia, quae hinc sequuntur vsque ad v. 424. desunt in Vit. 1. et Ciz. et eorum loco substituuntur: καὶ ζήτει κάλχαντα, ἰδομενέα καὶ σθένελον. Hos

Οἷον ὅτε πρῶτον λίπον Ἑλλάδα καλλιγύναικα
Φεύγων νείκεα πατρὸς Ἀμύντορος Ὀρμενίδαο [18]).
Ὅς μοι παλλακίδος πέρι χώσατο [19]) καλλικόμοιο,
Τὴν αὐτὸς φιλέεσκεν, ἀτιμάζεσκε δ' ἄκοιτιν,
Μητέρ' ἐμήν· ἡ δ' αἰὲν ἐμὲ λισσέσκετο γούνων
Παλλακίδι προμιγῆναι, ἵν' ἐχθήρειε γέροντα.
Τῇ πιθόμην καὶ ἔρεξα. Πατὴρ δ' ἐμὸς αὐτίκ' ὀϊσθεὶς
Πολλὰ κατηρᾶτο [20]), στυγερὰς δ' ἐπεκέκλετ' Ἐριννῦς,
Μή ποτε γούνασιν οἷσιν ἐφέσσεσθαι [21]) φίλον υἱὸν
Ἐξ ἐμέθεν γεγαῶτα. Θεοὶ δ' ἐτέλειον ἐπαρὰς
Ζεύς τε καταχθόνιος καὶ ἐπαινὴ Περσεφόνεια.

καίτοι τοιοῦτόν φησιν [22]).

. . . Ἀλλὰ σὲ [23]) παῖδα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
Ποιεύμην, ἵνα μοί [24]) ποτ' ἀεικέα λοιγὸν ἀμύνῃς.

424 — 25. Τρισσοὺς δὲ] τοὺς δὲ τρεῖς [1]) καύηκας καὶ λάρους, ἤτοι γηραιοὺς, ἤγουν Κάλχαντα, Ἰδομενέα καὶ Σθένελον [2]) ταρχύσουσι καὶ θάψουσιν αἱ νάπαι καὶ

autem verſſ. non ab ipſo auctore horum ſcholiorum, ſed ab alio, forte Io. Tzetza poſthaec eſſe adiunctos, docet τὸ· ζήτει, quod notat, ea, quae velit illuſtrare exemplo, quaerenda eſſe in ipſo Homero. Vitt. 2 et 3. qui ſunt aetatis ſerioris, omnia habent.

18) ὀρμεν.) Vit. 2. mendoſe ὀρμαινίδαο.

19) χώσατο) Pro χώσσατο Vitt. 2 et 3. cum Seb.

20) κατηρᾶτο) Vit. 2. κατηράσατο, male.

21) ἐφέσσ.) Vitt. 2 et 3. vulg. ἐφέζεσθαι.

22) καίτοι — φησιν) Vit. 3. φασιν. Thryllit. mauult legere: κατά τοι τοιοῦτον, *hoc modo, hanc ob cauſam.* Forte legendum κᾆτα pro καίτοι. Hom. l. l. v. 490.

23) ἀλλὰ σὲ) Sic omnino legendum; verum ἀλλά σε Codd. noſtri cum Sebaſt. perperam, *nam breuia ſcholia Homeri volunt, vt* ἀλλὰ σὲ *ſcribatur:* καὶ ὀρθοτονεῖται, *inquiunt,* διὰ τὴν δεῖξιν. Thryllit. Heyne quoque ἀλλὰ σὲ legit.

24) ἵνα μοί) Vit. 2. ἵνα μή.

1) τρεῖς) Vit. 1. et Ciz. τρισσοὺς, ſed Vitt. 2 et 3. delent.

2) ἤτοι — σθένελον) Abſunt a noſtris. Forte huc delata ſunt ex iis, quae

οἱ σύνδενδροι τόποι τοῦ Κερκάφου [3]) (ὁ δὲ Κέρκαφος ὄρος Κολοφῶνός ἐστιν) οὐκ ἄποθεν δὲ [4]) καὶ μακρόθεν, ἀλλὰ δηλονότι πλησίον τῶν ποτῶν καὶ τῶν ὑδάτων τοῦ Ἄλεντος ποταμοῦ Κολοφῶνος. Ἄλεντα δὲ, καὶ οὐκ Ἄλεντος, Δωρικῶς εἶπε. Καύηκας δὲ αὐτοὺς ὠνόμασε διὰ τὸ ἐκ γήρως λευκοὺς εἶναι, ὡς οἱ λάροι. Καύηξ [5]) δὲ ὁ λάρος κατὰ Αἰνιᾶνας [6]), ὥς φησι καὶ Ἱππώναξ [7])·

Κίκων [8]) δ' ὁ πανδάλητος ἄμμορος καύηξ [9]).

Vit. 1. et Ciz. antea loco verss. Homeri addiderant.

3) κερκάφου) Vitt. 2 et 3. κικάρφου, et mox iterum κέκαρφος, vitiose, vid. Antholog. II, 132.

4) ἄποθ. δὲ) Vit. 1. et Ciz. tollunt δὲ, vti etiam cum Vitt. 2 et 3. οὐ ante μακρόθ. quod οὐ quoque non dubitauimus delere.

5) καύηξ) Vit. 1. 2. et Ciz. vt edd. ante Pott. καύης.

6) Αἰνιᾶνας) Recte sic scribitur, cf. Tzschucke ad Strab. IX, p. 427. alii enim Αἰνειᾶνας. Vit. 1. et Ciz. αἰνιαίας: Vitt. 2 et 3. αἰλιάνας, confusis litteris ν, λ et ι. vid. infra ad v. 741. Dialecti autem, qua Aenianes sunt vsi, Fisch. in Animaduerss. ad Welleri Gram. Spec. I, p. 45 sqq. mentionem non fecit: forsan fuit eadem, quae Aetolorum iis vicinorum.

7) καὶ ὁ ἱππών.) Sic quoque Vitt. 2 et 3. sed Vit. 1. et Ciz. Δημήτριος ὁ ἱππών. *An Demetrius Ixion intelligendus? Nam Demetr. Triclinius, etsi paraphrasin in Lycophronem scripsit, tamen Tzetza posterior est.* Thryllit. Sane cadunt nostra in Demetr. Ixion. Grammaticum, qui de Etymologia scripsit, cf. Athen. III, 74, b. non minus tamen, quum hic Iambus s. Choliambus afferatur, in Hipponact. Iambographum. Fortasse dictus est Demetrius, vel legendum: ὥς φησι Δημήτρ. ὁ ἱππώνακτος, vt intelligatur Hipponactis carmen in Demetrium quendam, vel Δημήτρ. καὶ ἱππών., vt Grammaticus discernatur a Iambographo, nam Grammaticum pepigisse Choliambum vix credibile. Infra ad v. 741. eadem repetuntur, non addito Demetrio.

8) κίκων) A Seb. perperam hic eiectum, et ad v. 741. tamen seruatum, reduximus. Vitt. 2 et 3. legunt κήκων, quod fere idem est; infra tamen etiam κί-

Ἄποθεν] Τὸ πο μικρὸν γράφε [10]). Οὗτοι δὲ [11]) ἀγνοήσαντες τὸ μέτρον μέγα τοῦτο γράφουσι. Τὸ δασὺ δὲ, τοῦτο γίνωσκε, ὅτι ἐκτείνειν [12]) δύναται, ὅτε [13]) βούλεται ὁ στιχιστὴς [14]), ἴσως τοῖς διπλοῖς [15]), ὡς καὶ πρώην ἔφην σοι, εἰς παράδειγμα παραγαγὼν τό·

Τρῶες [16]) δ' ἐῤῥίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν.

Εἰ δὲ μείουρον τοῦτο [17]) νομίζεις, ἄκουσον καὶ τῶν κατὰ Μιμνῆ [18]) τοῦ ζωγράφου χωλῶν ἰάμβων [19]) Ἱππωνακτείων [20]) στίχων·

κων. Deinde male hic habent ἄμμονος pro ἄμμορος, quod v. 741. recte exhibent.

9) καύηξ) Noſtri iterum hic, et infra v. 741. καύης. His adnectunt Ciz. et Vit. 1. ὁ δὲ ἅλης ποταμὸς τοῦ κολοφῶνος, quod a reliquis, vt iam antea dictum, praetermiſſum eſt.

10) γράφε) Noſtri γράφεται, ſed aptius γράφε ob ſeq. γίνωσκε.

11) οὗτοι δὲ ἀγν.) Nonne οἱ δὲ? niſi velis οὗτοι dictum eſſe contemtus cauſa, vt Tzetza ſaepe dixit: οὗτος ὁ Λυκόφρων, vt ſit: *homines imperiti.*

12) τὸ δασὺ — ἐκτείνειν) Sic noſtri, melius quam vulg. σὺ δὲ τοῦτο γίνωσκε, ὅτι τὸ δασὺ ἐκτ. Vit. 1. et Ciz. vero omittunt τοῦτο a Seb. receptum, vt edd. prior.

13) ὅτε) Vit. 1. et Ciz. εἴγε.

679. Μῶλυ σαώσει] Ἀλλὰ τὸν Ὀδυσσέα ἀπὸ τῆς βλάβης, ἤγουν τοῦ γενέσθαι χοῖρον, σαώσει καὶ σώσει 9) τὸ μῶλυ, ἑρμηνευτικῶς, ὅπερ ὑπάρχει ῥίζα. Καὶ ἄλλος τίς σώσει 10); καὶ ὁ Κτάρος, ἤγουν 11) Ἑρμῆς Φανείς. Ἐπώνυμον δὲ τὸ Κτάρος τοῦ Ἑρμοῦ. Μῶλυ 12) δὲ γίνεται ἀπὸ τοῦ μῶ, τὸ ζητῶ· ἢ παρὰ τὸ μολύνειν, ὅ ἐστιν ἀφανίζειν, τὰ φάρμακα. Φασὶ δὲ, ὅτι ἀποσπώμενον τὸ μῶλυ ῥίζα τῷ τέλει, θάνατον ἐπιφέρει τῷ ἀποσπῶντι.

680. Νωνακριάτης] Ὁ Ἀρκάδιος 1)· Νωνακρία γὰρ πόλις Ἀρκαδίας, ἔνθα 2) τιμᾶται ὁ Ἑρμῆς.

Τρικέφαλος 3)] Αὐτὸς ὁ Ἑρμῆς, ὡς 4) οὐράνιος, θαλάσσιος καὶ ἐπίγειος 5)· ἢ διὰ τὸ φυσικὸν, ἠθικὸν, καὶ λογικόν· ἢ ὅτι 6) ἐπεισελθὼν τῇ Ἑκάτῃ, τρεῖς ἔσχεν ἐξ αὐτῆς θυγατέρας.

Φαιδρὸς] Μεταληπτικῶς ἀντὶ τοῦ Λευκός· καὶ γὰρ παρὰ Βοιωτοῖς Ἑρμῆς Λευκὸς τιμᾶται· πολεμούμε-

9) καὶ σώσει) Abest a Vit. 1. et Ciz. vti statim ἐφερμηνευτικῶς, pro quo Vitt. 2 et 3. ἑρμηνευτικῶς. καὶ σώσει glossam redolet.

10) τίς σώσει) Abest σώσει a Vit. 1. et Ciz. Exhibent quidem Vitt. 2 et 3. verum sine signo interrogationis. Thryllit. coniicit legendum esse καὶ ἄλλος· τίς; καὶ ὁ κτάρος, ἤγουν, bene, nam σώσει abundat.

11) ἤγουν Ἑρμ.) Pro καὶ ὁ Ἑρμ. deleto tamen φανείς. Vitt. 2 et 3. καὶ ὁ κτάρος] ἑρμῆς φανείς. Videntur esse vnum idemque ἤγουν et καί.

12) Μῶλυ — ἀποσπῶντι) A Seb. addita nostri non addunt.

1) Νωνακρ. ὁ Ἀρκάδ.) Absunt a Vitt. 2 et 3. perperam.

2) ἔνθα) Vitt. 2 et 3. ὅπου.

3) τρικέφ.) Cf. Harpocrat. περὶ τῶν λέξεων ad h. v.

4) αὐτὸς — ὡς) Vit. 1. et Ciz. ὅτι αὐτὸς: Vitt. 2 et 3. Ἑρμῆς, reliquis demtis.

5) ἐπίγειος) Hinc adiiciunt Vit. 1. et Ciz. καὶ καταχθόνιος. καὶ est, vt alias, *hoc est*, nam alias ei essent quatuor capita.

6) ἢ ὅτι — θυγατέρας) Vitt. 2 et 3. non exhibent: Vit. 1. et Ciz. dant quidem, sed sine ὅτι. Thryllit. mavult: ἢ ἐπεὶ ἐπεισ.

νοι 7) γὰρ Ταναγραῖοι ὑπὸ Ἐρετριέων, ἐσφαγίασαν παῖδα καὶ κόρην κατὰ χρησμὸν, κἀντεῦθεν ἱδρύσαντο Λευκὸν Ἑρμῆν. Ὁ Ἑρμῆς τῷ Ὀδυσσεῖ μέλλοντι ἀπελθεῖν 8) πρὸς τὴν Κίρκην συναντήσας, δέδωκε τὸ μῶλυ, ὥστε μὴ βλαβῆναι αὐτὸν ὑπὸ τῶν ἐκείνης 9) φαρμάκων. Μῶλυ δέ ἐστι, κατὰ τοὺς ἰατροὺς, τὸ ἄγριον πήγανον. Ἀλληγορικῶς 10) δὲ εἶπον, ὡς οὐ δεῖ λέγειν. Μῶλυ, δάφνη, κόνυζα, ῥάμνος, ἰτέα, ἀστήρ τε θαλάσσιος, ἴασπις λίθος, ἄλλα τε πολλὰ φυτὰ, καὶ ζῶα, καὶ λίθοι ἀντιπαθοῦσι μαγικοῖς πᾶσι τρόποις.

681. Ἀλίπεδον] Τὸ λεῖον 11) καὶ ὁμαλὸν καὶ παραθαλάσσιον πεδίον, ὅτι ἀπὸ τοῦ Ὠκεανοῦ κυκλοῦται 12) καὶ περιῤῥεῖται 13).

682. Πέμπελον] Τὸν ὑπέργηρων, παρὰ τὸ ἤδη πέμπεσθαι πρὸς τὸν 1) Αἴδην. Νῦν δὲ τὸν Τειρεσίαν

7) πολεμ. — ἑρμῆν) Desunt in Vitt. 2 et 3. cf. Pauſ. V, 10. de hoc donario.

8) ἀπελθεῖν) Pro ἀνελθεῖν Ciz. et Vit. 1. recte.

9) ἐκείνης) Vit. 1. et Ciz. ἐκείνων: Vitt. 2 et 3. κίρκης, melius.

10) ἀλληγορικῶς — τρόποις) Abſunt a Ciz. et Vit. 1. Thryllit. haec verſibus includit ſic:

Ἀλληγορικῶς δ' εἶπον, ὡς οὐ δεῖ λέγειν.
Μόλυ, δάφνη, κόνυζα, ῥάμνος, ἰτέα,
Ἀστήρ τε θαλάσσιος, ἴασπις λίθος,
Ἄλλα τε πολλὰ φυτὰ, ζῶα καὶ λίθοι
Ἀντιπαθοῦσι μαγικοῖς πᾶσι τρόποις.

De primo tamen dubitat, an vt verſus ſit legendus. Solet ſane, vt iam alias obſeruauimus, Io. Tzetzes, cuius haec eſſe videntur, eiusmodi verſus inſerere.

11) τὸ λεῖον — παραθαλ.) Vitt. 2 et 3. modo παραθαλ. vt Etymolog. In Vit. 1. et Ciz. lacuna patet, ſed χωρίον habent pro πεδίον, et ὑπὸ pro ἀπὸ, cf. Harpocrat. ad ἀλίπεδον.

12) κυκλ.) Noſtri κυκλεῖται, vt edd. ante Pott. qui vero annotat, κυκλεῖν eſſe στρέφειν, κυκλοῦν vero καταλαμβάνειν. Attamen ap. Eurip. Oreſt. 1379. ὠκεανὸς κυκλεῖ χθόνα, vbi vero etiam in quibusdam Mſſ. κυκλοῖ.

13) περιῤῥ.) Vitt. 2 et 3. καταῤῥεῖται.

1) πρὸς τὸν) Vitt. 2 et 3. εἰς τὸν.

λέγει, ἐπειδή Φασιν, αὐτὸν ἑπτὰ γενεὰς ζῆσαι· ἄλλοι δὲ ἐννέα [2]· ἀπὸ γὰρ Κάδμου ἦν, καὶ κατωτέρω Ἐτεοκλέους καὶ Πολυνείκους, ὥς Φησι [3] καὶ ὁ τῆς Μελαμπωδίας [4] ποιητής· παρεισάγει γὰρ τὸν Τειρεσίαν, λέγοντα·

Ζεῦ πάτερ, εἴθε μοι ἥσσω μὲν [5] αἰῶνα βίοιο
Ὤφελλες [6] δοῦναι, καὶ ἴσα μήδεα ἴδμεν
Θνητοῖς ἀνθρώποις. Νῦν δ' οὐδ' ἐμὲ τυτθὸν ἔτισας,
Ὅς γε μακρόν μ' ἔθηκας [7] ἔχειν αἰῶνα βίοιο,
Ἑπτά μ' ἔτη [8] ζώειν γενεὰς μερόπων ἀνθρώπων.

683. Ἀνδρῶν γυναικῶν] Φασίν, ὅτι ὁ Τειρεσίας ὄφεις συνουσιάζοντας ἐν τῷ Κιθαιρῶνι [1] εὑρὼν, ἀνεῖλε τὴν θήλειαν [2], καὶ γέγονεν αὐτὸς [3] γυνή. εἶτα τὸν ἄῤῥενα [4], καὶ γέγονε πάλιν ἀνήρ. Ἕτεροι δέ Φασιν, ὅτι γυμνὴν τὴν Ἀθηνᾶν ἰδὼν, γυνὴ γέγονεν. Ἐρίζοντος δέ ποτε τοῦ Διὸς πρὸς Ἥραν [5], καὶ λέγοντος, πλείονα

2) ἄλλοι — ἐννέα) Noſtri ignorant.

3) ὥς Φησι — usque ad ἀνθρώπων abſunt a Vit. 1. et Ciz. Haud dubie ſunt addita a Io. Tzetz. qui etiam, Heſiodum ex Melampode quaedam transtuliſſe, ad ἔργ. v. 800. tradit.

4) Μελαμπωδ.) Sic legendum pro Μελαμποδ. De Melampodia cf. Fabr. Bibl. Gr. Vol. 1. p. 115, ed. Harl. et Heyne in Obſeruu. ad Apollod. p. 64. Deinde Seb. pro ἡ τ. Μελαμπ. ποίησις legit ὁ τ. Μελ. ποιητής, Vitt. 2 et 3. ὁ τῆς Μελάμπιδος ποιητής.

5) εἴθε — μὲν) Vitt. 2 et 3. εἴθε μοι εἰδ' ἥσσω μ. vt edd. pr.

6) ὤφελλες) Reſtituimus metri cauſa: Vitt. 2 et 3. cum Seb. ὤφελες, minus recte. Thryll. mauult ὤφειλες.

7) ὅς γε μακρ. μ' ἔθηκ.) Sic quoque Vit. 3. ſed Vit. 2. ὅς με μακρόν γε ἔθηκας, vt ante Potter.

8) ἔτη) Vitt. 2 et 3. ἔτι.

1) κιθαιρ.) Alii in Cyllenio, Apollod. III, 6, 7. ibique Heyne, et Fulgent. Fab. 75.

2) τὴν θήλ.) Vit. 1. et Ciz. τ. θῆλυν.

3) αὐτὸς) A Seb. inſertum noſtri non inſerunt.

4) εἶτα τὸν ἀῤῥ.) Vitt. 2 et 3. εἶτα πάλιν τ. ἀῤῥ.

5) πρὸς Ἥρ.) Vit. 3. πρ. τὴν Ἥρ.

πόθον ἔχειν ἐν τῇ συνουσίᾳ 6) τὰς γυναῖκας, ἤπερ τοὺς ἄνδρας, καὶ κριτοῦ γεγονότος τοῦ Τειρεσίου 7), ὡς ἀνδρὸς 8) καὶ γυναικὸς γενομένου, καὶ Φαμένου, ὅτι δέκα οὐσῶν τῶν ἡδονῶν πασῶν μίαν ἔχειν τὸν ἄνδρα, τὰς δὲ Θ τὰς γυναῖκας 9), ὀργισθεῖσα ἡ Ἥρα ἐτύφλωσεν αὐτόν· ὁ δὲ Ζεὺς ἐχαρίσατο τὸ μαντικὸν 10) ἀσφαλὲς, καὶ ζωὴν πολυχρόνιον· ὡς καὶ ἡ Περσεφόνη ἐν τῷ Ἅιδῃ 11) τούτῳ χαρίζεται μόνῳ Φρονεῖν τῶν ἄλλων ἁπάντων νεκρῶν. Περὶ δὲ τοῦ Διὸς καὶ Ἥρας περὶ 12) Τειρεσίου ἕνεκα τῆς λάγνου 13) κρίσεως καὶ ὁ τῆς Μελαμπωδίας ποιητὴς 14), ὡς ἀπὸ τοῦ Τειρεσίου, Φησίν·

Οἴην 15) μὲν μοῖραν δέκα μοιρῶν τέρπεται ἀνὴρ,
Τὰς 16) δέκα δ' ἐμπίπλησι γυνὴ τέρπουσα νόημα.

684 — 85. Ψυχαῖσι θερμὸν αἷμα] Αἷμα χέ-

6) ἐν τῇ συνουσ.) Male absunt a Vit. 1. et Ciz.

7) καὶ κριτοῦ — τοῦ τειρεσ.) Sic hunc locum restituimus ope Codd. nostrorum, deletis praecedd. φασὶ, κριτὴν αὐτὸν καταστῆναι τὸν τειρεσίαν.

8) ἀνδρὸς) Praepositum καὶ delent Vitt. 2 et 3.

9) ὅτι — γυναῖκας) Ita Vit. 1. et Ciz. optime pro ὅτι δεκαπλασίως ἐρᾷ τοῦ ἀνδρὸς ἡ γυνὴ, cff. Apollod. III, 6, 7, et Heyne Obseruatt. p. 250, Ouid. Metam. III, 370, ibique Gierig, Phlegon Trall. de Mirab. 4. schol. Hom. Odyss. κ, 493. Hyg. f. 75. ibique interptt. Δεκαπλασίως corruptum videtur ex δέκα οὐσῶν πασῶν.

10) τὸ μαντικὸν) Pro τὴν μαντικὴν Vit. 1. et Ciz. recte.

11) ἐν τῷ Ἅιδῃ) Absunt a Vit. 1. et Ciz. vti sqq. περὶ δὲ τοῦ — νόημα. Videntur et hic praeeunte Apollodoro e Melampodia a Io. Tzetza illata, cf. ibi Heyne. Praeterea Vit. 1. et Ciz. pro τούτῳ legunt τοῦτο, scl. ζωὴν πολυχρόνιον, omisso φρονεῖν.

12) περὶ) Pro παρὰ Vitt. 2 et 3. bene.

13) λάγνου) Pro λαγνείας Vitt. 2 et 3. recte.

14) ποιητὴς) Vitt. 2 et 3. cum Seb. pro ποίησις, verum iterum Μελάμπιδος pro Μελαμπωδίας.

15) οἴην) Sic Vitt. 2 et 3. cum Apollod. l. l. pro οἵην.

16) τὰς — νόημα) Vit. 3. violato metro delet τὰς, et legit νοήματα.

ας Ὀδυσσεὺς εἰς βόθρον [1]), καὶ τὸ ξίφος [2]) κατέχων πρὸς ἐκφόβησιν τῶν ψυχῶν, ἠρώτα [3] ἑκάστην, τίς εἴη; ἡ δὲ ἱστορία [4]) τοιαύτη. Ὁ Ὀδυσσεὺς παρα τῆς Κίρκης ἀπεστάλη εἰς Αἴδην, ψυχῇ χρησόμενος Θηβαίου Τειρεσίου περὶ τῆς νόστου αὐτοῦ. Προσέταξε δὲ αὐτῷ ἡ Κίρκη, ὅταν ἀπέλθῃ ἐκεῖ,

Βόθρον ὀρύξαι ὅσον τε πυγούσιον, ἔνθα καὶ ἔνθα·
Ἀμφ' αὐτῷ δὲ χοὴν χεῖσθαι πᾶσι νεκύεσσι,
Πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδέϊ οἴνῳ,
Τὸ τρίτον αὖθ' ὕδατι· ἐπὶ δ' ἄλφιτα λευκὰ παλύνειν·
Αὐτὸς δὲ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
Ἧσθαι, μηδὲ ἐᾷν νεκύων ἀμενηνὰ κάρηνα
Αἵματος ἄσσον ἴμεν, πρὶν Τειρεσίαο πυθέσθαι.

686. Πεμφίδων] Ψυχῶν [5]), παρὰ τὸ πέμπεσθαι εὐπόρευτοι [6]) γάρ, ὡς λεπταὶ καὶ ἀερώδεις, αἱ ψυχαί.

687. Ἀμαυρᾶς μάστακος ἀποφθέγμασιν] Ἀμυδροῦ [7]) καὶ ἀσθενοῦς στόματος λαλιαῖς [8]).

688 — 89. Ὅθεν Γιγάντων νῆσος] Ὁ μὲν Καισαρεὺς Προκόπιος [9]) τὴν Δαμασκόν φησι Διὸς τρόπαιον

1) αἷμα — βόθρον) Sic nostri pro χέας γὰρ ὁ Ὀδυσσ. εἰς βόθρ. αἷμα.

2) ξίφος) Vitt. 2 et 3. bene delent additum αὐτοῦ.

3) ἠρώτα) Vitt. 1. 3. et Ciz. ἐρωτᾷ.

4) ἡ δὲ ἱστορ. usque ad πυθέσθαι desunt omnia in Cdd. nostris. Versus sunt Hom. Odyss. κ, 519 sqq.

5) ψυχῶν) Vit. 1. et Ciz. τῶν ψυχ.

6) εὐπόρ.) Vitt. 2 et 3. ἀπόρευτοι, quam lectionem Potter. quoque idoneam esse arbitratur per antiphrasin, quia animae ob summam leuitatem a quouis venti flatu inhiberi possint.

7) ἀμυδροῦ) Vit. 1. et Ciz. ἀμυδρᾶς, scl. μάστακος, ita vt sq. καὶ sit, *hoc est.*

8) λαλιαῖς) Nostri pro λαλιᾶς, recte, nam explicat ἀποφθέγμασι, quod praeponendum est. Sic quoque schol. min.

9) προκόπιος) *Percurri quidem libros Procopii, qui extant, sed nihil inueni, quod id comprobaret: quare pro fragmento locus iste, si qua fides Tzetzae, habendus est.* Sebast.

κατὰ Γιγάντων· ἕτεροι δὲ τὴν Σικελίαν, ὅπου καὶ τὸν Τυφῶνα κεραυνοῖ, ὡς καὶ Ἡσίοδος φησί [10])·

Φλὸξ δὲ κεραυνωθέντος ἀπέσσυτο τοῖο ἄνακτος,
Οὔρεος ἐν βήσσῃσιν ἀϊδνῆς [11]) παιπαλοέσσης
Πληγέντος . . . .

Ἕτεροι δὲ Γιγάντων νήσους [12]) τὰς Πιθηκούσας ἤκουσαν [13]), αἵ εἰσι περὶ τὴν Ἰταλίαν. Μέμνηται δὲ αὐτῶν καὶ Αἰσχρίων [14]) ἐν ἑβδόμῳ Ἐφεσίδος [15]). Ταύτας δὲ τὰς νήσους ᾤκουν πρότερον οἱ Γίγαντες, ὕστερον δὲ ὁ Ζεὺς χειρωσάμενος αὐτοὺς, κατ' αὐτοῦ ἐπαναστάντας [16]), ἐπέθηκεν αὐτοῖς τὰς νήσους, καὶ ἐκεῖ κατῴκισε [17]), πιθήκους, ἤτοι μιμοὺς [18]), τοὺς καὶ σατύρους, καὶ ἀρκοϊζανοὺς [19]) πρὸς

10) φησί) Addunt Vit. 1. et Ciz. omissis tamen versſ. Hesiod. Theog. v. 859 sqq.

11) ἀϊδνῆς) Vitt. 2 et 3. αἴτνης, non male.

12) νήσους τὰς πιθ.) Vitt. 2 et 3. νῆσον τοὺς πιθήκους, et mox οἳ pro αἵ. Νῆσον non male, nam Pomp. Mel. II, 7, 175. quoque Pithecusa, cf. ibi Tzschucke p. 872. sed mire τοὺς πιθήκους.

13) ἤκουσαν) H. e. *intellexerunt*. In edd. vett. legebatur οἰκοῦσιν, Reinesius malebat ᾤκησαν.

14) Αἰσχρίων) Vit. 1. et Ciz. inepte Αἰσχύλος. Aeschrion Samius, vt Athen. VII, 296, e. et VIII, 335, c. vel Mitylenaeus, vt Io. Tzetz. in Chil. VIII, v. 406. Iambographus, et Eudoc. p. 70, Μιτυληναῖος, ἐποποιός.

15) Ἐφεσίδος) Nostri Ἐφέσιδος. An ἐφημερίδων, vt Io. Tzetz. Chil. l. l. Αἰσχρίων ὥσπερ ἔγραψεν ἐν ταῖς ἐφημερίσιν. Fortasse tamen, quod verisimilius videtur, pars Ἐφημερίδων fuit, quae res tractaret Ephesiacas, nam in hac historia Tzetzes loquitur de Parrhasio pictore ἐξ Ἐφέσου. Eudoc. l. l. nullum Aeschrionis laudat librum.

16) κατ' — ἐπαναστ.) Nostri non agnoscunt.

17) κατῴκισε) Recte. Vitt. 1. 2. et Ciz. perperam κατῴκησε.

18) μιμοὺς) Vit. 3. μίμους.

19) ἀρκοϊζανοὺς) Vit. 1. et Ciz. ἀρκοιζιάνους: Vit. 2. ἀρκοβυζιανοὺς, infra ad v. 1000. ἀρκοβουζιανὸς, quod quoque Du Fresne in Glossar. in scriptt. med. et inf. Graecitatis dicit esse eiusdem notionis: Vit. 3. ἀρκοβιζανοὺς, infra ἀρκοβυζιανός. Reines. in Varr. Lectt. p. 307. intelligit, quas nostri dicunt feles marinas, *Meerkatzen*.

ἀτιμίαν καὶ αἰσχύνην τῶν Γιγάντων. Ἡ δὲ σύνταξις οὕτως ἔχει [20]). Ἡ θλάσασα [21]) νῆσος τὸ μετάφρενον καὶ τὴν ῥάχιν, καὶ τὸ δέμας καὶ [22]) σῶμα τοῦ ἀγρίου δράκοντος καὶ Τυφῶνος, ἡ Σικελία (κἂν ληρῶσιν οἱ πολλοὶ [23])) ἥτις φλογμῷ ζέει, ἤτοι φλόγας πέμπει ἐκ τῆς Αἴτνης πρὸς τὴν Κατάνην.

690 — 92. Δέξεται μονόστολον] Ὑποδέξεται δὲ αὕτη ἡ νῆσος τὸν Ὀδυσσέα μονόστολον, ἤτοι [1]) ἓν πλοῖον ἔχοντα, ἐν ᾗ πιθήκων γένος ὁ πάλμυς καὶ βασιλεὺς [2]) τῶν ἀφθίτων, ἤτοι τῶν Θεῶν, ᾤκισεν. Ἡ δὲ λέξις τοῦ πάλμυς τῶν Ἰώνων [3]) ἐστὶ, καὶ χρῆται ταύτῃ Ἱππῶναξ, λέγων·

Ὦ Ζεῦ πάτερ, Θεῶν Ὀλυμπίων πάλμυ,
Τί μ' οὐκ ἔδωκας χρυσὸν ἀργύρου [4]), πάλμυ [5]);

Ὤικισε] Τὸ σε μακρὸν, ὡς κοινὴ συλλαβή.

Thryllit. addit: *an: argutiani*, vid. ad v. 1000.

20) ἡ δὲ — ἔχει) A Seb. additum nostri non addunt.

21) θλάσ.) Sic quoque Vit. 1. et Ciz. sed Vitt. 2 et 3. vt ante Pott. perperam θάλασσα.

22) καὶ τὰ δέμ. καὶ) Absunt a Vit. 1. et Ciz. verum a Vitt. 2 et 3. καὶ σῶμα, *hoc est*, *corpus*. Alterutrum bene abesse potest.

23) κἂν ληρ. οἱ πολ.) Vit. 1. et Ciz. non habent.

1) μονόστ. ἤτοι) Vitt. 2 et 3. ignorant.

2) καὶ βασιλεὺς — τοῦ πάλμυς) Absunt a Vitt. 2 et 3.

3) τοῦ πάλ. τῶν Ἰών.) Sic Vit. 1. et Ciz. pro τὸ πάλμ. Ἰώνων, sed quae sequuntur καὶ χρῆται — πάλμυ, in iisdem desunt.

4) χρυσὸν ἀργ.) Lobeck ad Sophocl. Ai. v. 191. p. 249. χρυσὸν (ἢ) ἄργυρον, non male, sed vnde, non addere ei libuit. Caeterum hunc locum attulit, vt ostendat, verbis: τί μ' οὐκ ἔδωκας, in Hipponacte elidi μοὶ, sed quis scit, an μ' sit lectio integra, et an μ' pro με positum in contextu ad aliud verbum, non vero ad ἔδωκας, referatur.

5) πάλμυ) Vitt. 2 et 3. πάλμυν, quam lectionem Thryllit. praefert, putatque duo diuersos locos ex Hipponacte laudari.

693. Μῶλον] Μῶλος, ὁ πόλεμος, παρὰ τὸ μὴ ὅλος καὶ ὁλόκληρος εἶναι. Πολλοὶ γὰρ ἐν αὐτῷ [6]) τῷ πολέμῳ ἀναιροῦνται.

Ἐγγόνοις [7]) Κρόνου] Τοῖς παισὶ τοῦ Κρόνου, Διὶ καὶ τοῖς ἑτέροις. Εἶπον δὲ περὶ ἔκγονος καὶ ἔγγονος ἀλλαχοῦ.

694. Βαίου [8]) δ' ἀμείψας] Ὁ Βαῖος οὗτος κυβερνήτης ἦν Ὀδυσσέως, ὃς τελευτήσας ἐτάφη περὶ Σικελίαν· ἀφ' οὗ φασὶ κληθῆναι Βαΐας, τὰς νήσους καὶ πόλεις, καὶ τὸν Βαΐου λιμένα, παρὰ τὴν κατ' Ἰταλίαν Ἄορνιν [9]).

695. Καὶ Κιμμέρων ἔπαυλα [10])] Οἱ Κιμμέριοι, κατὰ μὲν Ὅμηρον, ἔθνος τὰς ἐπαύλεις ἔχον περὶ τὸν δυτικὸν [11]) Ὠκεανόν. Φησὶ γάρ [12])·

6) αὐτῷ) Abest a nostris, et commode abesse potest.

7) ἐγγόν.) Vitt. 2 et 3. ἐκγόνοις. Vit. 1. et Ciz. cum edd pr. carent hoc scholio.

8) βαίου — βαῖος) Nostri βαιοῦ — βαιὸς, male, vid. Nott. ad Lycophr. et Tzsch. ad Pomp. Mel. Vol. III, P. II, p. 427. de Baio.

9) παρὰ — Ἄορνιν) Absunt a Vit. 1. et Ciz. spatio tamen in Vit. 1. relicto litterarum fere XII, puta παρὰ τὴν Ἄορνιν. Vitt. 2 et 3. vero sic: πόλις περὶ τὴν — Ἄορνιν, scl. Baiae, non male. Phauor. qui hoc schol. e Tzetza videtur hausisse, post κατ' ἰταλίαν habet ἄορνις καὶ βαιὸς, ἐπὶ ἀριθμοῦ καὶ ἐπὶ μεγέθους, quae fortasse hic exciderunt.

10) ἔπαυλα) Codd. nostri cum edd. statim subiiciunt ἐπαύλεις — μεταπλασμὸς, quae a Seb. praeter rationem infra sunt posita. In caeteris quoque constanter sequuntur vulgatam.

11) δυκτικὸν (δυτικὸν)) *Duplex erat Cimmerium, vnum Tauricae Chersonesi in ore ipso Bospori trans fretum, quod Periegeta intendit, et Pomp. Mel.* II, 21, *alterum ad lacum Auernum in Campaniae agro, cuius mentio etiam ap. Plin.* III, 5, *et hic in Lycophrone.* Thryllit. cff. quoque Dauis et Goerenz ad Ciz. Academ. II, 19.

12) φησὶ γάρ) Cum versf. a nostris abest. Hom. Odyss. λ, 14, 15. Caeterum ap. Hom. legitur κεκαλυμμένοι pro κεκαλυμμένη, quod quoque emendauimus. cf. ibi Eustath. et ad Dionys. Perieg. v. 167, et Io. Tzetz. in Chil. XII, v. 842 sqq.

"Ενθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε, πόλις τε,
Ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι . . . .

Κατὰ δὲ τὸν Περιηγητὴν Διονύσιον [13]·

Κιμμέριοι ναίουσιν ὑπὸ ψυχρῷ ποδὶ Ταύρου.

"Επαυλα] Τὰς ἐπαύλεις. Τὸ δὲ σχῆμα μεταπλασμός.

κ' Ἀχερουσίαν] Μυθικῶς μὲν ὁ Ἀχέρων ποταμός ἐστιν Ἀΐδου· ἱστορικῶς δὲ καὶ περιηγητικῶς ὁ Ἀχέρων ποταμός ἐστιν Ἡρακλείας, τῆς περὶ Σινώπην. Καλεῖται δὲ νῦν [14] Σοωναύτης. Οὐκ οἶδα [15] δὲ, ποῦ ὁ Λυκόφρων οὗτος λέγει εἶναι τὸν Ἀχέροντα.

697. "Οσσαν τε, καὶ λέοντος] Κύμη καὶ "Οσσα, ὄρη Ἰταλίας μέγιστα [1], ὥς φησι Μητρόδωρος [2]. Καὶ

13) Διονύσ.) Noſtri omittunt, non male.

14) νῦν) Noſtri cum Seb. ſupplent. Quare vero dicatur σοωναύτ. vide ſupra ad v. 411, et ſchol. Apollon. II, 355 et 746, p. 190. Legendum vero σοωναύτ. pro σωοναύτ. praeeunte Apollonio.

15) οὐκ οἶδα — Ἀχέροντα) Vit. 1. et Ciz. non exhibent. Sunt haud dubie Io. Tzetzae, qui, multiſcius alias, immo omniſcius, hic fatetur, ſe neſcire, quem intelligat Acherontem Lycophron. Intelligit eum, qui auctore Strab. VII, p. 324. e lacu Acheruſio influit in portum Glycyn.

1) ὄρη — μέγ.) Vitt. 2 et 3. ὄρος — μέγιστον, ſine dubio rectius, nam Κύμη eſt vrbs, Oſſa vero mons, non autem Italiae, ſed Theſſaliae, cf. Tzſchucke ad Pomp. Mel. Vol. III, P. II, p. 174. Errarunt ſane facientes Oſſam montem Italiae, qui ſit fluuius Italiae, cff. nott. ad Lycophr. De vrbe Cyme cf. quoque Io. Tzetz. ad Heſiod. ἔργ. p. 143. ed. Heinſ. et Tzſch. ad Pomp. Mel. Vol. III, P. I, p. 180. Aliena plane ſunt, quae Tzetzes huic loco de Oſſa, monte Theſſaliae, aſſuit.

2) Μητρόδωρ.) *Cf. Scalig. ad Cat. p.* 32, *et Gronou. de pecun. vet.* III, 17, *p.* 256. *Poteſt eſſe Lampſacenus.* Thryllit *Scepſius ille, Periegeticus, laudatur a Stephano in ὕπανις, Plin.* III, 16, V, 31, *et* VIII, 14, *et ap. Placidum Lutatium in* 5 *Thebaidos.* Sebaſt. His add. Fabric. Bibl. Gr. Vol. I,

Ομηρός [3]) φησι περὶ τῶν Ἀλωέως [4]) παίδων, Ὤτου καὶ Ἐφιάλτου·

Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἄμβατος εἴη.

Λέοντος] Τοῦ Ἡρακλέους [5]), ἢ διὰ τὴν λεοντῆν [6]), ἢ διὰ τὴν ἀλκήν· Ἡρακλῆς γὰρ [7]) τὰς Γηρυόνου βοῦς ἐλαύνων, ὡς περὶ Ὄσσαν καὶ Κύμην [8]) ἐγένετο, εὗρε δὲ πελαγίσαντα τὸν Ὀρόντην [9] ποταμὸν φερόμενον ἐπὶ Μελίβοιαν τὴν πηγὴν, ὡς οὐκ ἦν δυνατὸν αὐτῷ [10]) αὐτὸν διελθεῖν, σκάψας τὰς κορυφὰς τῶν ὀρῶν, ἐνέβαλεν εἰς τὸν ποταμὸν, καὶ ἐνέχωσεν αὐτὸν, καὶ οὕτω διῆλθε σὺν τοῖς βουσίν [11]).

698. Ὀβριμοῦς τ' ἄλσος] Βριμὼ [1]) καὶ Ὀβρι-

p. 517. Voſſ. de Hiſt. Gr. p. 306. vbi Reineſ. margini adſcripſit: *Iſta Pliniana videntur potius e Metrodoro Byzantio eſſe hauſta, quem rei piſcatoriae peritiſſimum, et Leonidae* (cuius fit mentio poſtea ad v. 753.) *patrem fuiſſe dicit Aelian. de Nat. Anim. extr. l. II.* Deinde: *Metrodorus philoſophus inſpiciendorum locorum et orbis perſcrutandi gratia dicitur vlteriorem Indiam penetraſſe temporibus Conſtantini, Ruffinus l. I. Hiſt. Eccl. Socr. Theod. Sozom. Baron. ad an. 327: etiam Hieronymus in Chron. eius meminit.*

3) καὶ ὅμηρος — usque ad ἄμβατος εἴη noſtri non habent. Sunt in Il. λ, 314.

4) Ἀλωέως) Cf. Apollod. I, 7, 4, et Hom. Il. ε, 386, ibique Obſeruu. Heynii.

5) λέοντος] τοῦ Ἡρ.) Vit. 1. et Ciz. λέοντα δὲ τὸν Ἡρακλέα.

6) λεοντῆν) Contr. pro λεοντέην Vit. 1. et Ciz. cum edd. pr. Seb. et Vitt. 2 et 3. λεοντήν.

7) Ἡρακλ. γάρ) Vitt. 2 et 3. cum Seb. pro ὃς Ἡρακλ. vt edd. pr. cum Vit. 1. et Ciz.

8) κύμην) Vitt. 2 et 3. κύμαν.

9) ὀρόντην) Noſtri cum edd. pr. ὀῤῥόντ. non male, vt diſtinguatur ab Oronte, fluuio Syriae.

10) αὐτῷ) Addunt Vit. 1. et Ciz. bene: ab ſeq. αὐτὸν interceptum videtur.

11) τοῖς βουσ.) Noſtri pro ταῖς βουσ.

1) Βριμώ) Cf. infra ad v. 1176. *De Brimo vid. Tur-*

μὼ, ἡ Περσεφόνη, ὅτι τῷ Ἑρμῇ βιάζοντι αὐτὴν ἐν κυνηγεσίῳ ἐνεβριμήσατο, καὶ οὕτως ἐκεῖνος [2]) ἐπαύθη τοῦ [3]) ἐγχειρήματος. Ὥςπερ δὲ σταφὶς καὶ ἀσταφὶς, οὕτω Βριμὼ καὶ Ὀβριμὼ εἴρηται. Τινὲς [4]) δὲ γράφουσιν Ὀμβριμοὺς, παρὰ τὸ ὄμβριμον καὶ βαρύ.

699 — 702. Πυριφλεγές τε ῥεῖθρον] Λέγει [5]) τὸν πυρὶ φλεγέθοντα ποταμόν. Οὐκ οἶδα [6]) δὲ, ὅπου αὐτός φησιν εἶναι τὸν Πυριφλεγέθοντα, εἰ μὴ ἄρα, ὅπου ἡ πόλις τῶν ὀνείρων, καὶ ἡ τοῦ Πλάτωνος [7]) πολιτεία.

neb. *Aduerf.* XI, 16. *Scalig. ad Cat.* 210. *P. Leop. Emend.* XVII, 11. *Cant. Nouantiq. Lectt.* I, 6. *Gronou. ad Stat. c.* XX, *p.* 109. *et Schol. Oppian.* I, 306, *p.* 36. Thryllit. Add. Eudoc. ad h. v. fchol. Apoll. Rh. III, 861, p. 213. et Io. Tzetz. ad Hefiod. ἔργ. p. 48, ed. Heinf.

2) ἐκεῖνος) Ciz. et Vit. 1. ἐκεῖσε.

3) τοῦ) Hunc art. noftri cum Seb. praemittunt.

4) τινὲς — καὶ βαρύ) A noftris abfunt, quorum loco in Vit. 1. et Ciz. leguntur ὥςπερ — εἴρηται a nobis inferta.

5) λέγει — ποταμόν) Haec duo verba e Vit. 1. et Ciz. fuppleuimus.

6) οὐκ οἶδα) Legere poterat Tzetzes, monet Thryllit. Ariftotel. περὶ θαυμασ. ἀκουσμ. p. 106. (ed. Beckm. c. 108 et 109. p. 217.). Verba eius fic fe habent: περὶ τὴν Κύμην τὴν περὶ Ἰταλίαν λίμνη ἐστὶν — ἤπειρον θερμὸν ὕδωρ πολλαχόθεν ἐκπίπτει, καὶ ὁ τόπος ἅπας καλεῖται πυριφλεγέθων etc. et Strab. V, p. 244. τὸν πυριφλεγέθοντα ἐκ τῶν θερμῶν ὑδάτων ἐτεκμαίροντο τῶν πλησίον τῆς Ἀχερουσίας, fcl. ad lacum Auernum. Caeterum haec usque ad ὅμηρος cum verff. vti femper omnia, quae ludibrio habent Lycophronem, a Vit. 1. et Ciz. funt omiffa, fed a Vitt. 2 et 3. modo οὐκ οἶδα — πυριφλεγ. reliquis feruatis. Sunt fine dubio ab Io. Tzetza addita.

7) πλάτωνος) *Sane Plato eius meminit, quem Ariftotel. refutat, vid. Olympiod. ad L.* II. *Meteor. p.* 31, *a, qui Platonem excufat p.* 32, *a. et b. add. Stob. L.* 1. *Eclog. Phyf. de ftatu animarum poft exitum e Porphyrio* ἐν τοῖς περὶ στυγὸς, *et Nonn. ad β. στηλ. Greg. c.* 30. *p.* 171, *ed. Eton.* Thryllit. Add. Fragm. Apollodori p. 393, ed. Heyn.

Πυριφλεγέθων [8]) ποταμός ἐστιν ἐν τῷ Αἴδῃ, ὡς καὶ Ὅμηρος [9])·

Ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι,
Κωκυτός θ', ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀποῤῥώξ.

Κωκυτός τε, ὅπου λέγουσιν εἶναι λόφον δύςβατον, ὃν εἴτις ἂν προσβῇ, ἀφανὴς γίνεται εὐθύς. Ἐκεῖ δὲ λέγουσιν εἶναι τὰς τῶν ἀνθρώπων ψυχὰς, ἃς φυλάσσει ὁ κύων τοῦ Αἴδου, ὃς ἔχει ἑκατὸν κεφαλὰς, καὶ λέγουσιν, ὅτι τοὺς εἰςερχομένους μετὰ κολακείας προσδέχεται, τοὺς δὲ ἐξελθεῖν θέλοντας οὐκ ἐᾷ. Εἰ δέ τις τολμήσειε τῷ ταχέως αὐτοῦ λαβέσθαι, καταδαπανᾷ τοῦτον.

Ex 700. Αἴθραν [1])] Τὸν αἰθέρα λέγει [2]), ἢ τὸν ἀέρα, παρὰ τὸ αἴθω, τὸ καίω καὶ λάμπω, καὶ ῥέω, ἤτοι ὁ ῥέων τὸ φῶς ἐπὶ τῆς γῆς. Ἀπὸ εὐθείας δὲ τῆς, ὁ αἴθρα, τοῦ αἴθρα, τῷ αἴθρα, τὸν αἴθρα, ἐκινήθη.

Πολυδέγμων λόφος] Ὁ λόφος [3]) καὶ ὁ ὑψηλὸς τόπος οὕτω καλούμενον, ἤγουν τὸ ὄρος, ὃ καλεῖται πο-

8) πυριφλεγέθων usque ad καταδαπανᾷ desunt in Vitt. 2 et 3.

9) ὡς καὶ ὅμηρ.) Vit. 1. et Ciz. sine ὡς. Odyss. κ, 513. Alterum versum, κωκυτός —, Vit. 1. et Ciz. non exhibent.

1) Αἴθραν) In edd. pr. posita post πολυδέγμων λόφος nostri cum Seb. hic ponunt.

2) λέγει usque ad τῆς γῆς ignorant Vitt. 2 et 3. sed a Seb. adiecta, quae absunt a Vit. 1. et Ciz. ἀπὸ εὐθείας — quoque adiiciunt, omisso tantum voc. ἐκινήθη, et ὁ αἴθρας pro ὁ αἴθρα.

3) ὁ λόφος — πολυδέγμων) Desunt in Vit. 1. et Ciz. Canter. et Seb. perperam reprehendunt Tzetzam, quasi voc. πολυδέγμων proprium montis nomen accipientem, cum tamen modo dicat, hunc montem, scl. Apenninum, cognominatum esse πολυδέγμονα, h. e. *peraltum, permagnum.* Male in edd. πολυδ. magno Π, quae scriptura fraudi fuit calumniatoribus: in Codd. MSS. π minori recte scribitur. Scholiastes minor Vit. 3. erat reprehendendus, qui habet ὄνομα ὄρους.

λυδέγμων. Ὄρος[4]) ἐστὶ τῆς Ἰταλίας, λίαν ὑψηλότατον, ἐξ οὗ φασὶ πάντας τοὺς ἐν Ἰταλίᾳ ῥεῖν ποταμοὺς, ἐπειδὴ, ὥς φησὶ Τρύφων[5]), ὀμφαλός ἐστι τοῦ ᾅδου τὸ ὄρος τοῦτο.

Εx 702. Αὐσονῖτιν χθόνα] Εἶπον[6]) πολλάκις, ὡς Αὔσονες οἱ Αὔρουγκοι μόνοι κυρίως λέγονται, μέσον Καμπανῶν καὶ Οὐόλκων παρὰ θάλασσαν κείμενοι· καταχρηστικῶς δὲ καὶ πάντας Ἰταλοὺς[7]) Αὔσονας καλοῦσι· καταχρηστικώτερον[8]) δὲ καὶ ἡμᾶς, καίπερ Ἑλλήνων γονῆς πεφυκότας[9]). Αὔσονες δὲ λέγονται, κατά τινας μὲν, ἀπὸ Αὔσονος[10]), τοῦ Ὀδυσσέως καὶ Κίρκης παιδός· καθ' ἑτέρους δὲ, ἀπὸ Αὔσονος, τοῦ Ἰταλοῦ καὶ Λευταρίας[11]) υἱοῦ· ἄλλοι δὲ ἐξ Αὔσονος ἑτέρου[12]) φασίν.

4) ὄρος — ὄρος τοῦτο) Sic hunc locum emendauimus ope Vit. 1. et Ciz. Vulgata ſic exhibebat: ἐστὶ δὲ τοῦτο ἐν ἰταλίᾳ (Vitt. 2 et 3. τῆς ἰταλίας) ὑψηλότατον (Vitt. 2 et 3. λίαν ὂν ὑψηλότατον, vt Potr. in ed. 2.) ἐξ οὗ φασὶ πάντας τοὺς ἐν ἰταλίᾳ ῥεῖν ποταμούς.

5) τρύφων) Forte Grammaticus Tryphon eſt intelligendus, qui laudatur ab Villoiſon. in Prolegg. ad Schol. Marcian. p. XXX, et in ſchol. Il. ι, v. 299 et 289, et γ, 122, vti a Zonar. in Lex. ad ἰῶ, λιμὴς et ὄχεσφι.

6) εἶπον — κείμενοι) Conſentiunt Vitt. 2 et 3. ſed Vit. 1. et Ciz. modo habent: Αὔσονες κυρίως, οἱ Αὔρουγκοι μόνοι. cf. Io. Tzetz. Chil. V, 580, vbi eadem tradit. *Livius* VIII, 15 et 16. *Auſones ab Auruncis diſtinxit.* Thryllit.

7) ἰταλοὺς) Vit. 1. et Ciz. τοὺς Ἰταλ. ſeqq. vero Αὔσονας καλοῦσι demtis, non bene.

8) καταχρηστ.) Vit. 1. et Ciz. καταχρηστικωτέρως.

9) ἑλλήνων — πεφυκ.) Vit. 1. et Ciz. ἕλληνας ὄντας.

10) ἀπὸ αὔσονος — κίρκης παιδός) Abſunt a Vitt. 2 et 3. Suid. Phauorin. et ſchol. Apoll. Rh. IV, 553. pro κίρκης exhibent καλυψοῦς. Io. Tzetz. in Chil. V, 567 κίρκης, Eudoc. p. 76. γεγονὼς ἐκ τῆς κίρκης, ἤ, κατὰ τὸν τὰ ἐθνικὰ γράψαντα, ἐκ καλυψοῦς γεννηθεὶς τῷ ἄτλαντι.

11) λευταρίας) Ciz. et Vit. 1. λευταρνίας. Plutarch. in Romul. c. 2. λευκαρίας.

12) ἑτέρου) Ap. Io. Tzetz. Chil. l. l. αἰστέρου, corrupte,

703. Ληθαιῶνος] Ληθαιὼν, ὄρος ὑψηλὸν Ἰταλίας.

Κλέτας] Κλιτὺς, ἀκρωτήριον [1]). Τὸ δὲ ἑξῆς οὕτω [2]) · Λιπὼν [3]) δὲ Ληθαιῶνος ὑψηλὸν κλέτας ὁ Ὀδυσσεὺς, καὶ τόδε καὶ τόδε, ὅπου ὁ Ζεὺς τάδ' ἐποίησε, θήσει, καὶ τὰ ἑξῆς [4]).

704. Λίμνην τ' Ἄορνον [5])] Ἄορνος ἢ Ἄορνις, λίμνη περὶ Κύμην· περιφερὴς δὲ καὶ [6]) δίκην δεσμοῦ περιεσφιγμένη. Ἔχει δὲ, ὥς φασί τινες, αὕτη τὸ ὕδωρ κυάνεον [7]). Ἐπεκλήθη δὲ Ἄορνος, ὅτι οὐδὲν ὄρνεον δύναται αὐτὴν περιπετάσαι [8]), διὰ τὸ εἶναι αὐτὴν σκοτεινὴν καὶ μεγάλην [9]). Καὶ ὁ μὲν [10]) Λυκόφρων λίμνην λέγει τὴν Ἄορνον, καὶ ἕτεροί τινες περὶ τὸν Ἠριδανὸν λίμνην θερμὴν λέγουσι ὀξώδη, ἧς οὐδὲν ζῶον δύναται γεύσασθαι [11]) · τελευτᾷ γαρ [12]). Ἐκεῖ δὲ [13]) λέγουσι γενέσθαι τὰ κα-

nam versus caussa ἑτέρου, non vero, vt alii putant, παλαιοτέρου est legendum.

1) ἀκρωτ.) Vitt. 1. 2., et Ciz. vt vulg. ἀκρώρεια: Vit. 3. ἀκρωτήρια, vt referatur ad κλέτας.

2) τὸ — οὕτω) A Seb. addita nostri non addunt.

3) λιπὼν — ἑξῆς) In Vit. 1. et Ciz. non exstant. Eadem posthaec quia repetuntur ad v. 708. hic a Vit. 1. et Ciz. videntur omissa.

4) καὶ τὰ ἑξῆς) Vitt. 2 et 3. vt in edd. pr. αὐτὸς ὁ Ὀδυσσεύς.

5) ἄορνον) Nostri ἄορνιν et ἄορνις hic et in seqq. cf. Tzsch. ad Pomp. Mel. Vol. III, P. II, p. 426. Vit. 1. et Ciz. ἡ ἄορνις καὶ ἄορνος ponunt post περιεσφιγμένη.

6) καὶ) A Seb. illatum nostri non agnoscunt.

7) ὕδωρ κυάν.) Vt Diod. Sic. IV, 22.

8) περιπετάσαι) Nostri pro περιτᾶσαι.

9) διὰ τὸ — μεγάλην) Absunt a Vitt. 2 et 3.

10) καὶ ὁ μὲν) Vit. 1. et Ciz. καὶ non praebent.

11) λέγουσι ὀξ. — γεύσασθαι) Sic Vit. 1. et Ciz. bene pro καὶ ὀξ. φασὶν, ἧς οὐδὲν ζῶον γεύεται.

12) τελευτ. γάρ) Vit. 1. et Ciz. non habent.

13) ἐκεῖ δὲ) Vit. 1. et Ciz. ἐκεῖ γὰρ, et Vit. 2. λέγει pro λέγουσι.

τὰ τὸν Φαέθοντα· ἐκεῖ καὶ [14]) αἴγειροι ἵστανται στάζουσαι [15]) ἤλεκτρον. Οἱ δὲ τὰς Ἀλεξάνδρου πράξεις συγγραψάμενοι [16]) πέτραν [17]) φασὶν εἶναι ιέ σταδίων [18]) τὸ ὕψος τὴν Ἄορνον. Ἄορνος δὲ λέγεται, ὅτι διὰ τὴν ψύξιν αὐτὴν ὄρνεον οὐχ ὑπερίπταται [19]). Ὁ δὲ Ἀλέξανδρος ταύτην [20]) ἐπόρθησεν.

Ἄλλοι δὲ τὴν Ἄορνον, Σωτίων τε, καὶ Ἀγαθοσθένης [21]), καὶ Δίων [22]), καὶ οἱ λοιποὶ τῶν ἱστορικῶν οὐ λίμνην, οὐδὲ πέτραν φασί [23])· στόμιον δέ τι περὶ

14) ἐκεῖ καὶ) Sine γὰρ bene Ciz. et Vit. 1.

15) στάζουσαι) Pro κατάγουσαι Vit. 1. et Ciz. melius.

16) οἱ — συγγραψ.) *Arrianus de exped. Alex.* IV, *p.* 191. *ed. Gronou. cf. Philostrat.* II, 6. Seb.

17) πέτραν — εἶναι — ἄορνον) Sic Vit. 1. et Ciz. demto voc. ὑψηλὴν, quod ob seq. ὕψος abundat. cff. Suid. ad Ἄορνος, Eustath. ad Dionys. Perieg. v. 1143, et Beckman. ad Aristot. de Mirab. Auscult. p. 220.

18) σταδίων) Vit. 3. σταδίους.

19) ὄρνεον — ὑπερίπτ.) Ciz. et Vit. 1. ὄρνεα — ὑπερίπτανται: Vit. 3. οὐχὶ περίπταται.

20) ταύτην) Vitt. 2 et 3. bene delent καὶ praemissum.

21) ἀγαθοσθένης) Vit. 1. et Ciz. mendose ἀγασθένης. Iungit Io. Tzetz. in Chil. VII, v. 646. Sotionem et Agathosthenem. Infra v. 1021. iterum Σωτίων καὶ Ἀγαθοσθένης οἱ φιλόσοφοι. Sotion, *philosophus Peripateticus, in Miscellis* περὶ ποταμῶν, καὶ κρηνῶν, καὶ λιμνῶν παραδοξολογουμένων. *Ex hoc opere quae hodie extant, edidit cum Aristotelis* θαυμασίοις ἀκούσμασιν *Henr. Stephanus, postea que in sua Aristotelis editione inseruit Fred. Sylburgius.* Seb. Cff. Voss. de Hist. Gr. pag. 153. et Fabric. Bibl. Gr. Vol. III. p. 505. ed. Harl. Quod attinet ad Agathosthenem, cf. Voss. de Hist. gr. p. 240, quem dicit a Germanico in Aratea citari in Asiaticis carminibus, forte, obseruat Reines. in nott. adscriptis, in Asii Samii ἔπη commentariis.

22) Δίων) *L.* LVIII. *p.* 1141. *Tom.* II. *ed. Reimar. et in Fragm. T.* I. *p.* 5. Seb.

23) φασί) Abest a Vit. 1. et Ciz. male.

τὴν [24]) Ἀδιαβηνὴν, ὅπερ [25]) στόμιον ὄρνεον ὑπερπετᾶσθαι οὐ δύναται. Ἀπὸ γὰρ τῆς ἐκεῖθεν [26]) ἀναφερομένης ἀναθυμιάσεως τελευτᾷ καὶ πᾶν ζῶον ἄλογον. Ἡ δὲ Ἀδιαβηνὴ [27]) χώρα τῆς Μεσοποταμίας ἐστὶ, καὶ τῆς περὶ Νῖνον Συρίας, ἐν ᾗ Ἀδιαβηνῇ τοῦτο τὸ Ἄορνον στόμιον [28]), καὶ ἡ Κτησιφῶν πόλις, καὶ ἡ Ἀσφαλτῖτις [29]) λίμνη, ἐξ ἧς Ἀσφαλτίτιδος ἐστὶν [30]) ἄσφαλτος ἡ νάφθα. Περὶ δὲ τῆς [31]) Ἀσφαλτίτιδος λίμνης Ἰώσηπος λέγει περὶ Ἰορδάνην καὶ Ἱεριχοῦντα εἶναι πικρὰν καὶ ἄγονον. Ἐν ταύτῃ φησὶ τῇ Ἀσφαλτίτιδι τὰ ἐμβαλλόμενα πάντα [32]) ἄνω φέρεσθαι [33]), καὶ ἀνθρώπους δὲ ὀπισθάγ-

24) τὴν) Nostri Codd. addunt.

25) ὅπερ — ὑπερπ.) Nostri ὃ — ὑπερπετασθῆναι, vt edd. pr.

26) ἐκεῖθεν) Nostri Codd. ἐκεῖσε, non apte.

27) ἡ δὲ Ἀδιαβ. — ἐν ᾗ) Absunt a Vitt. 2 et 3. Habent Vit. 1. et Ciz. verum pro ἐν τῇ, ἐν ᾗ. De Adiabene, regione Euphratem inter et Tigrim, et de Nino, vrbe Assyriorum, cf. Steph. Byz.

28) στόμιον) Nostri στόμα.

29) Ἀσφαλ.) Vit. 1. et Ciz. ἀσφαλτὶς, et postea ἀσφαλτίδος pro ἀσφαλτίτιδος. cf. Ioseph. de Bell. Iud. IV, 8, 4.

30) ἐξ ἧς — ἀσφαλτ.) Suppleuimus e Vit. 1. et Ciz.

31) περὶ δὲ τῆς — ἄγονον) Vit. 1. et Ciz. non habent.

32) πάντα) Abest a Vit. 1. et Ciz.

33) φέρεσθαι — νήχεσθαι) Vit. 1. et Ciz. sic: φέρονται, καὶ ἄνθρωποι ὀπισθάγκωνα δεδεμένοι, καὶ ἐν ταύτῃ βαλλόμενοι, καὶ μὴ ἐπιστάμενοι νήχεσθαι, ἀναφέρονται διὰ τὴν ταύτης κουφότητα. Vltima verba διὰ τὴν ταύτ. κουφότητα hic recepimus, sublatis antea post ἄγονον, et loco plane alieno positis τῇ κουφότητι, et ἀνενεχθῆναι scripsimus, praeeuntibus Iosepho et Codd. nostris, pro ἀναχθῆναι. Praeterea restituimus ὀπισθάγκωνα pro ὀπισθάγκωνας ope Codd. nostrorum, nam, vt Du Fresne in Gloss. med. et inf. Graec. exemplis allatis docet, ὀπισθάγκωνα, *reuinctis post tergum manibus*, aduerbialiter dicitur et Plurali additur, vt καταρχὰς et al. Ioseph. l. l. dat: δεθέντας ὀπίσω τὰς χεῖρας. Vulgata itaque lectio eaque corrupta Lexicographis, adeo Schneidero fuit fraudi, vt vocabulum ὀπισθάγκων cude-

κωνα δῆσαι φησὶν Οὐεσπασιανὸν, καὶ ἐμβαλεῖν ταύτῃ τῇ λίμνῃ, καὶ ἀνενεχθῆναι διὰ τὴν ταύτης κουφότητα μόνους μὴ ἐπισταμένους νήχεσθαι. Καὶ Ξενοφῶν 34) καὶ ἕτεροι μυρίοι περί τε τοῦ Ἀόρνου στομίου 35), καὶ τῆς Ἀσφαλτίτιδος λίμνης ἱστόρησαν.

705 — 11. Καὶ χεῦμα Κωκυτοῖο] Παραπέφρακε 1) τὸ Ὁμηρικόν·

Κωκυτός θ', ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀποῤῥώξ.

Ἡ δὲ Στὺξ 2) βοηθήσασα καὶ αὐτὴ τῷ Διῒ, ὅτε οἱ λοιποὶ Θεοὶ ἐβουλήθησαν αὐτὸν ἐξ οὐρανοῦ ῥίψαι, δέδωκεν αὐτῇ ὁ Ζεὺς χάρισμα, τὸ ὀμνύειν εἰς αὐτὴν τοὺς Θεούς. Καὶ Ὅμηρος·

Ἴστω νῦν τόδε Γαῖα, καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν,
Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅστε μέγιστος
Ὅρκος, δεινότατός τε πέλει μακάρεσσι Θεοῖσιν.

Ὁ δὲ Κωκυτὸς, ποταμὸς ἐν Αἴδῃ, μυθικῶς. Ἀλληγορικώτερον δὲ Κωκυτὸς, ὁ θρῆνος· καὶ Ἀχέρων, ἡ ῥεῦσις καὶ χύσις 3) τῶν ἀχέων καὶ θλίψεων, τῶν διὰ τοὺς τε-

rent plane incognitum, auctoritate Tzetzae perperam abusi.

34) καὶ ξενοφῶν — ἱστόρησαν) Vit. 1. et Ciz. ignorant. Innuit forsan schol. Xenoph. Cyrop. VII, 5, 9. ἡ ἄσφαλτος ἡ λεγομένη νάφθα. Videntur omnino haec omnia aliena. Ideo Thryllit. putat, in ora fuisse lemma περὶ τῆς ἀσφαλτίτιδος λίμνης, et deinde ibidem subscriptum fuisse locum Iosephi, quum haec nihil faciant ad Lycophronem explicandum. Idem ei accidisse arbitratur vir doctus cum ἡ Ἀδιαβηνὴ χώρα — Νῖνον Συρίας. Mihi videntur intrusa a Io. Tzetza, variae doctrinae iactatore.

35) στομίου) Vitt. 2 et 3. στόματος, vt antea num. 28.

1) παραπέφρακε — ἀποῤῥώξ) A Vitt. 2 et 3. plane absunt. Habent quidem Vit. 1. et Ciz. verum ad v. 706. post στυγεῖσθαι τὰ ἐκεῖ, cf. Hom. Odyss. κ, 514.

2) ἡ δὲ στὺξ — Θεοῖσιν) Desiderantur in Codd. nostris. Hom. Il. ο, 36, 37.

3) ἡ ῥεῦσις — χύσις) Vit. 1. et Ciz. ἡ χύσις καὶ ἡ ῥεῦσις. Zonar. Lex. ῥέων τὰ ἄχια

θνηκότας. Καὶ Αἰακὸς δὲ, ὁ πυλωρὸς, παρὰ τὸ αἶ αἶ λέγειν ἐν ταῖς κηδείαις [4]), καὶ οἱονεὶ προπυλαίοις τοῦ Αἴδου. Καὶ Μίνως καὶ Ῥαδάμανθυς, παρὰ τὸ μίμνειν τοὺς ἐκεῖ κατερχομένους, καὶ παρὰ τὸ ῥᾳδίως μινύθεσθαι καὶ φθείρεσθαι. Ὁμοίως καὶ τὰ λοιπὰ πάντα, ἵνα μὴ μακρηγορῶ [5]).

Ex 706. Στυγὸς κελαινῆς] Καὶ ἡ Στὺξ, λίμνη τοῦ Αἴδου, παρὰ τὸ στυγεῖσθαι τὰ ἐκεῖ [6]). Ἔστι δὲ καὶ ἐν Ἀρκαδίᾳ ἑτέρα, διακόπτουσα τῇ ψυχρότητι πάντα τὰ ἀγγεῖα, πλὴν τῶν κερατίνων [7]).

Τερμιεὺς] Ὁ Ζεὺς, ὡς ἀρχὴ καὶ τέρμα πάντων.

Ex 707. Ὁρκωμοτους] Ὅρκον γὰρ τῶν Θεῶν [8]) μυθικῶς ὁ Ζεὺς ἐποίησε τὴν Στύγα, διότι [9]) πρώτη τῶν λοιπῶν [10]) Θεῶν σὺν τοῖς ἰδίοις παισὶν εἰς τὴν κατὰ Τιτάνων μάχην ἦλθε συνεργὸς τῷ Διΐ, ὥς φησιν Ἡσίοδος ἐν τῇ Θεογονίᾳ [11]).

Ex 708. Λοιβάς τε ἀφύσσων] Καὶ λοιβὰς, ἤτοι θυσίας, ἀφυσσάμενος [12]) χρυσοῖς [13]) ποτηρίοις ἐκ τοῦ ὕδατος αὐτῆς, ὅτε ἔμελλε περάσαι πρὸς πόλεμον Γιγάντων καὶ Τιτάνων. Ἡ δὲ σύνταξις οὕτω· Λιπὼν [14]) δὲ

καὶ τὰς θλίψεις. Thryll. coniicit, in his latere iambos politicos.

4) κηδ.) Vitt. 2 et 3. mire κομῳδίαις.

5) πάντα — μακρηγορῶ) Absunt a Vit. 1. et Ciz.

6) τὰ ἐκεῖ) Non extant in Vitt. 2 et 3.

7) διακόπτ. — κερατίνων) Idem tradunt Pauf. VIII, 18, 2. Plutarch. in Alexandr. 77, et Eudocia p. 379. τῇ ψυχρότ. abest a Vit. 3.

8) τῶν θεῶν) Non praebet Vit. 3.

9) διότι κ. τ. λ.) A Seb. bene huc translata in nostris occupant locum veterem in seq. schol. v. 708.

10) λοιπῶν) Delent Vit. 1. et Ciz.

11) Θεογον.) v. 397.

12) ἀφυσσ.) Vit. 3. ἀρυσσάμενος.

13) χρυσοῖς) Vit. 1. et Ciz. χρυσέοις.

14) λιπὼν — Ὀδυσσεὺς) Absunt h. l. a Vitt. 2 et 3. bene, nam iam supra a Pottero v. 703. addita, vbi vero, vti diximus, a Vit. 1. et Ciz. absunt. Delenda igitur videntur vel hic, vel ad v. 703.

Ληθαιῶνος ὑψηλὸν κλέτας ὁ Ὀδυσσεὺς, καὶ τόδε καὶ τόδε, ὅπου ὁ Ζεὺς τάδε ἐποίησε, θήσει αὐτὸς ὁ Ὀδυσσεὺς δάνος, ἤτοι δῶρον καὶ ἀνάθημα. Τίνι [15]); τῇ Δαείρᾳ καὶ κοπτικῇ καὶ ἀναιρετικῇ, ἤτοι [16] τῇ Περσεφόνῃ, καὶ τῷ συνευνέτῃ [17], ταύτης Αἴδῃ, μετὰ τὸ ανελθεῖν ἀπὸ τοῦ Αἴδου [18]). Τί δάνος θήσει; πήληκα καὶ περικεφαλαίαν αὐτῇ [19]) τῇ κόρσῃ καὶ τῇ κεφαλῇ τοῦ κίονος προσαρμόσας καὶ θεὶς τὴν πήληκα. Ἱστορεῖται [20]) γὰρ, ὅτι μετὰ τὸ ἀνελθεῖν ὁ Ὀδυσσεὺς ἐκ τοῦ Αἴδου, ἀνιέρωσε κίονα τῷ Αἴδῃ καὶ τῇ Περσεφόνῃ, ἐφ' ᾧ καὶ τὴν περικεφαλαίαν αὐτῇ ἀνέθηκε. Περσεφόνη δὲ, καὶ Ἶσις, καὶ Γῆ, καὶ Ῥέα, καὶ Ἑστία, καὶ Πανδώρα [21]), καὶ ἕτερα μυρία ὀνομάζεται [22]).

Ex 710. Δαείρᾳ [1]] Δάειρα [2]), ἡ Περσεφόνη, παρὰ τὸ· δᾷδα [3])· δᾳδοῦχος γὰρ ἡ Θεός.

Ex 711. Κορσῃ] Κόρσῃ, ἡ μήνιγξ καὶ ἡ κεφαλὴ, ὥς φησιν Ἐμπεδοκλῆς [4])·

Ὡς πολλῶν μὲν κόρσαι ἀναύχενες ἐβλάστησαν.

15) τίνι) Non agnoſcunt Vit. 1. et Ciz. vti ſqq. καὶ κοπτ. καὶ ἀναιρ.

16) ἤτοι) Deeſt in Vitt. 2 et 3.

17) συνευνέτ.) Vitt. 2 et 3. συνεύνῳ.

18) μετὰ τὸ — Αἴδου) Deſunt in Vitt. 2 et 3. Omittunt Ciz. et Vit. 1. modo ἀπό.

19) αὐτῇ) Addit ſolus Ciz. bene.

20) ἱστορεῖται — ἀνέθηκε) Noſtri non agnoſcunt, bene, nam antea iam dicta fuerant. Gloſſam redolent.

21) πανδώρα) Sic, non πάνδωρα legendum cum noſtris.

22) ὀνομάζεται) Noſtri ὀνόματα.

1) Δαείρᾳ) Hoc ſchol. plane abeſt a Vitt. 2 et 3. ſed Vit. 1. et Ciz. collocant, vt edd. ante Seb. ad v. 712. poſt παραπλέοντας.

2) Δάειρα) Vit. 1. et Ciz. Δαείρα. Etymolog. et Heſych. Δάειρα, cf. ibi interptt.

3) παρὰ τὸ· δᾷδα) Ita Vit. 1. et Ciz. recte, pro π. τὴν δ. nam haud dubie, vt Thryllit. coniicit, αἴρειν excidit, nam alias ſenſus non conſtat. Etymol. tamen: Δάειρα ἡ Περσεφόνη παρὰ Ἀθηναίοις, παρὰ τὴν δᾷδα· ἐπηδεὶ μετὰ δᾴδων ἐπιτελεῖται αὐτῇ τὰ μυστήρια· ἢ ὅτι δᾷδα φορεῖ.

4) Ἐμπεδοκλ.) Vid. ſupra ad v. 507. ed. Sturz. p. 602.

712 — 16. Κτενεῖ δὲ κούρας] Τὰς Σειρῆνας 5) λέγει, Παρθενόπην, Λευκωσίαν καὶ Λίγειαν. Ἄλλοι 6) δὲ ἄλλως καλοῦσι ταύτας, Πεισινόην 7), Ἀγλαόπην 8), Θελξιέπειαν 9). Τούτων ἡ μὲν ἐκιθάριζεν· ἡ δὲ ᾖδεν· ἡ δὲ ηὔλει, καὶ διὰ τούτων καταμένειν ἔπειθον τοὺς παραπλέοντας. Ἦσαν δὲ 10) θυγατέρες Ἀχελώου καὶ Τερψιχόρης 11). ὁ δὲ Ἀχελῶος υἱὸς ἦν Ὠκεανοῦ καὶ Τηθύος. Αἱ Σειρῆνες δὲ 12), μὴ φέρουσαι τὴν ὑπὸ 13) Ὀδυσσέως ἧτταν, ἑαυτὰς κατεθαλάττωσαν. Διέτριβον δὲ αὗται 14), κατὰ μέν τινας, ἐν Πελωρίδι· κατὰ δὲ ἄλλους, ἐν ταῖς Σειρηνούσαις, αἵ εἰσι τρεῖς ἄκραι τῆς Ἰταλίας.

Ex 715. Δυπτούσας πτεροῖς] Πλεούσας ἐν τοῖς πτεροῖς, ἐπειδὴ, ὡς ἔφην, τὰ ἄνω παρθένων εἶχον· τὰ δὲ κάτω, ὄρνιθες ἦσαν πτερὰ ἔχουσαι.

5) τὰς Σειρῆν.) *Cf. ad h. l. Eustath. ad Hom. Odyss. μ. p. 470. ed. Bas. vbi dicit, duas modo esse Sirenas, sed Lycophronem laudare tres.* Thryllit. Eudoc. p. 373. Io. Tzetz. Chil. I, 14. Heyne Obseruatt. ad Apollod. p. 15. et Voss. *Mytholog. Briefe* Vol. II, p. 38 seqq.

6) ἄλλοι — usque ad παραπλέοντας) Ordinem verborum a Sebast. mutatum nostri Codd. non mutant. Caeterum Vit. 1. et Ciz. haec: τινὲς δὲ ἑτέρως ταύτας φασὶν, a Seb. praetermissa quoque praetermittunt. Vitt. 2 et 3. tuentur, ita tamen, vt ea, quae sequuntur: ἄλλοι δὲ ἄλλως — παραπλέοντας, omittant.

7) πεισινόην) Ita quoque Ciz. et Vit. 1. Hygin. in Praef. et schol. Apoll. Rh. IV, 892, p. 235, Eudocia vero l. l. Μόλπην nominat.

8) Ἀγλαόπην) Eustath. l. l. ἀγλαοφήμην, Eudocia cum schol. Apoll. Rh. Ἀγλαόφωνον.

9) Θελξιέπειαν) Schol. Apollon. et Eudoc. Θελξινόην f. Θελξιόπην.

10) ἦσαν — θυγ.) Vit. 1. et Ciz. αἱ θυγ. ἦσαν.

11) Τερψιχ.) Aliis dic. mater earum Melpomene, Sterope et Calliope, cf. Heyne Obseruatt. ad Apollod. p. 15.

12) δὲ) Nostri γάρ.

13) ὑπὸ) Vit. 1. et Ciz. delent.

14) αὗται) Pro αἱ Σειρῆνες Vit. 1. et Ciz. bene, quia modo nominatae erant.

Ex 716. Ὅπου λινεργὴς κλῶσις [1])] Τὰ λῖνα [2]) τῶν Μοιρῶν, τουτέστι τὸ πεπρωμένον· ὁ πικρὸς λῖνος αὐτὰς ἀποθανεῖν ἐπεκλώσατο.

717. Τὴν μὲν Φαλήρου] Φάληρος, τύραννος Σικελίας, ἔκτισε τὴν ἐν Ἰταλίᾳ Νεάπολιν, τοὺς ἐπιξενιζομένους [3]) πρὸς αὐτὸν δεινῶς κολάζων καὶ ἀναιρῶν. Λέγει οὖν [4]), τὴν Παρθενόπην ἐκεῖ ἐκπεσεῖν. Διόδωρος [5]) δὲ ὁ Σικελὸς καὶ ὁ Ὀππιανὸς τὴν Νεάπολιν ὑφ' Ἡρακλέους κτισθῆναί φασι [6]). Καὶ ὁ Ὀππιανός φησιν ἐν τοῖς Κυνηγετικοῖς·

. . . . . νέον πέδον Ἡρακλῆος,

αὐτὴν τὴν Νεάπολιν λέγων [7]). Μέμνηται [8]) τοῦ Φαλήρου καὶ Καλλίμαχος λέγων·

Τὴν [9]) κείνου Φάληρος πρᾶξιν ἀπεπλάσατο.

Τύρσις] Τὸ τεῖχος, ὅτι Τυρσηνοὶ πρῶτον ἐφεῦρον [10]) τὴν τειχοποιΐαν.

1) λινεργ. κλῶσις) Sic nostri pro λινεργής. Alias Seb. semper addit verba textus e Codd. suis, quae a scholiasta explicantur, sed h. l. omisit κλῶσις.

2) τὰ λῖνα — ἀποθανεῖν) Ita Vit. 1. et Ciz. rectius, pro: ὅπου ὁ τῶν Μοιρ. λῖνος ὁ πικρὸς, τοῦτ' ἔστι τὸ πεπρ. ἀποθ. αὐτάς. Vitt. 2 et 3. vt vulg. omissis tamen τοῦτ' — πεπρωμ.

3) τοὺς ἐπιξεν. — ἀναιρῶν) Non comparent in nostris.

4) λέγει οὖν) Nostri λέγει δὲ, et Vitt. 2 et 3. mox πεσεῖν pro ἐκπεσεῖν.

5) Διόδωρος) T. II, p. 640, n. 15. edit. Wessel. Ὀππιαν. II, 149.

6) φασι) Nostri cum Seb pro φησί.

7) λέγων) Vit. 1. et Ciz. λέγει.

8) μέμνηται — ἀπεπλάσατο) Nostri ignorant. cf. Fragm. Callimachi p. 385. ed. Spanh. p. 513. ed. Ernest. vbi vero φάλαρις pro φάληρος. Nominatur quoque φάλαρις Eudociae p. 412, et schol. Pind. Pyth. I, 185.

9) τὴν) Seb. iactitat se suppleuisse; habet iam Canterus. κείνου, vt in Cod. Oxon. olim ἐκείνου.

10) ἐφεῦρον) Nostri cum Phauor. εὗρον.

718. Γλάνις] Ποταμὸς Ἰταλίας καὶ Κύμης [1]), ἔνθα καὶ ὁμώνυμος αὐτῷ [2]) ἰχθὺς, ὥς φασι, γίνεται, οὗ ἡ χολὴ λίαν ὠφέλιμος, ἀλλὰ μόνου τοῦ ἐν ἐκείνῳ τῷ ποταμῷ. Ἕτερος δέ ἐστι καὶ Ἰταλίας ποταμὸς Γλάνις, καὶ ἕτερος Ἰταλίας καταφερόμενος εἰς τὴν Θύμβριν [3]).

719. Δομήσαντες] Τὸ δο μικρὸν ὁ Τζέτζης [4]) γράφει, τιθεὶς ἄνωθεν αὐτοῦ μακρὰν, καί φησιν, ὅτι ἐκτείνεται ὑπὸ τοῦ μ, καὶ ἔστι κοινὴ συλλαβή· τὰ γὰρ ἀμετάβολα ἐκτείνει [5]), ὁπόταν ὁ μετρικὸς βούλοιτο [6]).

1) *καὶ κύμης*) Vit. 1. et Ciz. ponunt poſt *γίνεται*, omiſſis ſqq. *οὗ ἡ χολὴ — τῷ ποταμῷ*.

2) *αὐτῷ*, et *ὥς φασι*, noſtri omittunt. De piſce, qui nominatur *γλάνις*, vid. Ariſtot. Hiſt. anim. IX, 37. Aelian. de Nat. Animal. XII, 14. et Plin. H. N. IX, 43. *De glani ſ. ſiluro vid. Salmaſ. ad Solin. p.* 1340, *vbi affirmat, quod Plinio γλάνις ſemper ſilurus vertatur, ſed fallit, nam* IX, 43. *ita vertit: Cautius, qui glanis vocatur, auerſos mordet hamos, nec deuorat, ſed eſca ſpoliat.* Thryllit. cf. ibi interprett. et Schneid. ad Aeliani l. l. Fluvius nominatur Strab. V, p. 233. Virg. Georg. II, 224, et Sil. Ital. VIII, 455, *κλάνις, clanis*, iam aetate noſtra *Lagno*.

3) *ἕτερος δέ ἐστι — Θύμβριν*) Sic hunc locum corruptum, qui in vulg. ſic ſe habet: *ἐστὶ δὲ καὶ ἕτερος ποταμὸς ἰταλίας γλάνις, καὶ ἄλλος ἰβηρίας,* emendauimus ope Vit. 1. et Ciz. In Iberia eſſe fluuium huius nominis, nemo Geographorum vett. niſi Stephan. Byz. ad h. v. tradit, cuius vero verba etiam videntur corrupta. E *θύμβριν* l. *τίβεριν*, vt Steph. habet, mihi ortum videtur *Ἰβηρίας, καὶ Ἰωνίας* pro *καὶ Ἰταλίας*. Fuerunt ergo tria huius nominis flumina, vt innuit Tzetzes, docetque Caſaub. ad Strab. l. l. primum, quod antea Liris dicebatur, alterum Campaniae, cuius h. l. Lycophron meminit, et Virgil. l. l. tertium, quod in Tiberin influit, vt Steph. Byz. et Plin. H. N. III, 5. narrant. cf. quoque Cluuer. Ital. Antiq. p. 1098.

4) *ὁ τζέτζης — φησὶν, ὅτι*) Abſunt a Vit. 1. et Ciz. haud dubie addita a Io. Tzetza, qui amat nomen ſuum vbique venditare.

5) *ἐκτείνει*) Vitt. 2 et 3. ignorant: Vit. 1. et Ciz. *ἐκτείνουσι*, vt antea dictis conueniant.

Εἰ δὲ καὶ μέγα φησί7) τις τοῦτο γράφεσθαι, γινωσκέτω λέγειν, ὅτι Ἀττικῇ ἐκτάσει τοῦτο γέγονε, καὶ μὴ κτηνωδῶς καὶ ἀναιτίως γραφέτω 8).

720. Παρθενόπην 9)] Ἡ Παρθενόπη μία ἦν τῶν Σειρήνων, πρώτη δὲ ἐν αὐταῖς. Παρθενόπην δὲ λέγει, διὰ τὸ ἔχειν παρθένου μικρᾶς 10) φωνὴν, ἢ διὰ τὸ ὁμοιοῦν παρθένῳ μικρᾷ.

721. Οἰωνὸν Θεὰν] Διὰ τὸ ὀρνεομιγεῖς εἶναι τὰς Σειρῆνας, οἰωνοὺς καλεῖ. Θεὰς 11) δὲ, διὰ τὸ τοιαύτην ἔχειν δύναμιν θελκτικὴν, ὥστε κατέχειν καὶ ἀναιρεῖν 12) τοὺς ἀκούοντας τοῦ μέλους αὐτῶν.

722 — 25 1). Ἀκτὴν δὲ τὴν προὔχουσαν] Τὴν προκειμένην 2) εἰς θάλασσαν. Λέγει δὲ τὸ Ποσείδειον 3) ἄκρον.

Ἐνιπέως] Ἐνιπεὺς ὁ Ποσειδῶν παρὰ Μιλησίοις τιμᾶται. Εἰς δὲ τὸ Ποσείδειον τέθαπται ἐκριφεῖσα ἡ Λευκωσία, ἡ Σειρήν. Λευκωσία δὲ, μία τῶν Σειρήνων,

6) ὁπόταν — βούλοιτο) Recte. Vit. 1. vero et Ciz. ὁπότε — βούλεται.

7) φησί — γράφεσθαι) Desunt in Vit. 1. et Ciz. Habent quidem Vitt. 2 et 3. sed γράφει pro γράφεσθαι.

8) καὶ μὴ — γραφέτω) Non extant in Vit. 1. et Ciz.

9) παρθενόπ.) Hoc schol. Vit. 1. et Ciz. neque hic, neque postea ad v. 725. cum vulg. et Vitt. 2 et 3. praebent. Vitt. 2 et 3. vt Eudoc. p. 276, vulgatam dant a Seb. perperam mutatam et transpositam: λευσία, μία τῶν Σειρήνων, ἡ δὲ παρθενόπη πρώτη ἦν ἐν αὐταῖς, etc.

10) μικρᾶς) Addunt Vitt. 2 et 3. cum Eudoc. a reliquis omissum, recte, nam sqq. requirunt.

11) θεὰς) Vitt. 2 et 3. θεὰν, forte rectius, quia Lycophr. habet.

12) ἀναιρεῖν) Ciz. et Vit. 1. ἀνελεῖν.

1) V. 722 — 25. Omnia hic a Seb. in ordinem digesta in nostris Codd. vt in edd. pr. exhibentur.

2) τὴν προκ.) Vit. 1. et Ciz. ἤτοι προκ.

ἤγουν λευκωτέρα, ἢ ἔχουσα [4]) λευκὰ ὠτία, ἢ Λεύκου [5]) τινὸς θυγάτηρ, ἢ τὰ τοῦ Λεύκου ὠτία ἔχουσα [6]).

Πέτραν] Νῦν τὴν νῆσον λέγει. Λευκωσία δὲ, ἡ νῆσος ἀπὸ ταύτης τῆς Σειρῆνος Λευκωσίας ἐκλήθη [7]).

Ἶς] Ἶς καὶ Λᾶρις, ποταμοὶ Ἰταλίας.

Ποτὰ] Ὁ ποτός. Ἔστι δὲ νῦν [8]) τὸ σχῆμα μεταπλασμὸς, ἀπὸ ἀρσενικοῦ εἰς οὐδέτερον.

726. Λίγεια [9])] Λίγεια ἐκλήθη [10]), διὰ τὸ λίγειον, ἤγουν τὴν ἡδύτητα της Τραγῳδίας αὐτῆς.

Τέρειναν] Τέρεινα, πόλις Ἰταλίας.

Ἐκναυσθλώσεται [11])] Ἐκναυσθλοῦν [12]) ἐστὶ κυρίως, τὸ μετὰ νηὸς ἐκπλεῦσαι. Νῦν δὲ τὸ ἐκριφῆναι ὑπὸ τῶν κυμάτων.

727. Χελύσσουσα] Ἐν λάμβδα γράφων ὁ Κέκος [1]), φησὶ, μὴ εἶναι ἐπταισμένον τὸν στίχον· κοινὴν

3) ποσειδ.) Vit. 1. et Ciz. ποσειδώνιον: Vitt. 2 et 3. ποσειδήϊον hic et poſtea.

4) ἤγουν λευκ. ἢ ἔχ.) Sic Vitt. 2 et 3. bene pro ἡ λευκ. ἔχουσα.

5) λεύκου) Eudocia λευκοῦ.

6) ἔχουσα) Pro σχοῦσα Vitt. 2 et 3. cum Eudoc.

7) λευκωσ. — ἐκλήθη) Ciz. et Vit. 1. ὠνόμασται δὲ καὶ σειρὴν λευκωσία. cf. Eudoc. p. 276.

8) ὁ ποτός. Ἔστι δὲ νῦν) Sic noſtri, recte, pro ποτός ἐστι. Νῦν δέ.

9) λίγεια — τέρειναν) Abſunt haec ſcholia a Vit. 1. et Ciz.

10) ἐκλήθη — ἤγουν) Vitt. 2 et 3. vt edd. pr. modo διά.

11) ἐκναυσθ.) Hoc ſcholio carent Vitt. 2 et 3.

12) ἐκναυσθ.) Vit. 1. et Ciz. ſeruant vulg. ναυσθλώσεσθαι.

1) ὁ κέκος) Vitt. 2 et 3. vt vulg. ὁ τζέτζης. Sebaſt. κέκος e Cod. Vat. 972. recepit, vt refelleretur, quod affeuerare non dubitaſſet cum Gerbelio Potterus, nullnm ex Mſſ. nomen Tzetzae vel ſemel variaſſe. Tenendum vero eſt, Vit. 1. et Ciz. hic quoque, vt antea v. 719. et al. loc. omiſiſſe nomen Tzetzae, a Io. Tzetza forte additum, et ſchol. dare, vti forte primum dederat Io. Tzetzes, ſic: χελύσ.] διαπλέουσα καὶ νηχομένη, καὶ ἐν λ. κοινὴ γάρ ἐστι συλλα-

γὰρ λέγει τοῦτο συλλαβὴν, ἐκτείνεσθαι δὲ τὸ ε ὑπὸ τοῦ λ, ἀμεταβόλου ὄντος, ὥςπερ καὶ πρὶν ἔφην. Καὶ τὰ δασέα ὁμοίως ἐκτείνουσι τὰ βραχέα, εἰ ἔμπροσθεν αὐτῶν εὑρεθείη. Οἱ δὲ λοιποὶ πάντες διὰ δύο λλ γράφουσι, λέγοντες, κατὰ πλεονασμὸν εἶναι τὸ ἓν λ. Χελλύσουσα γὰρ, ἡ διαπλέουσα καὶ νηχομένη· καὶ γὰρ οἱ νηχόμενοι, τοῖς χείλεσιν ὠθοῦσι τὸ ὕδωρ. Τὸ δὲ θέμα χελύω.

729 — 30. Ὠκινάρου δίναισιν] Ὠκίναρος [2]) ποταμὸς παρὰ [3]) Τέρειναν, Ἄρης δὲ [4]), ἤτοι ἰσχυρὸς, λεγόμενος, καὶ βούκερως, διὰ τὸ ἠχητικὸν, ὅτι τοὺς [5]) ποταμοὺς κερατοφόρους καὶ βουκεφάλους εἰςάγουσιν, ἴσως διὰ τὸ βίαιον καὶ ἠχῶδες, καὶ βρυχητικὸν τῶν ῥευμάτων. Ἄρης γὰρ οὐκ ἔστι ποταμὸς παρὰ Τέρειναν, Ἔρις δὲ καὶ Ἶρις, ὥς τινες γράφουσιν [6])· ὅθεν ἐπιθετικῶς αὐτὸ ἐδέξαντο ἐπὶ τοῦ Ὠκινάρου [7]).

731. Ὀρνιθόπαιδος] Ὀρνιθοφυοῦς [1]). Τὸ δὲ ὀρνιθόπαις, καὶ καλλίπαις, καὶ ἀνδρόπαις, καὶ τὰ ὅμοια [2]), διπλῶς νοοῦνται. Ἡ δὲ ἔννοια ἐξελέγχει τὴν

βὴ, ἐκτείνεται δὲ ὑπὸ τοῦ ἀμεταβόλου λ. καὶ τὰ δασέα δὲ ὁμοίως ἐκτείνουσιν. εἰ δὲ βραχὺ ἔμπροσθεν εὑρεθείη· οἱ δὲ λοιποὶ δύο λλ γράφοντες λέγουσι περισσὸν εἶναι τὸ ἓν λ. χελύσσουσα] τοῖς χείλεσιν ὠθοῦσα τὸ ὕδωρ, τὸ θέμα χελύω. Vitt. 2 et 3. consentiunt vulgat. ita tamen, vt ὥςπερ — ἔφην rectius pro ὥσπ. — ἔφη legant, et ad extr. τὸ δὲ θέμα κτλ. omittant.

2) ὠκίναρ.) Vit. 1. et Ciz. ὠκήναρος.

3) παρὰ) Nostri hic et posthaec περί.

4) δὲ) Bene addunt Vit. 1. et Ciz.

5) ὅτι τοὺς usque ad ῥευμάτων desunt in Vitt. 2 et 3.

6) καὶ Ἶρις — γράφουσιν) Adiiciunt Vit. 1. et Ciz. Extat fluvius Ἶρις auctore Steph. Byz. ad χαδισία, sed in Cappadocia, diuersus a nostro.

7) ὅθεν — ὠκινάρου) Nostri ignorant.

1) ὀρνιθοφυοῦς) Delent art. τῆς praepositum Vit. 1. et Ciz.

2) καὶ τὰ ὅμοια) Desunt in Vitt. 2 et 3.

ἀλήθειαν [3]) · ὀρνιθόπαις γὰρ λέγεται καὶ [4]) ἡ ὄρνιθος παῖς, καὶ ἡ ὀρνιθοφυὴς παῖς, ὡς νοεῖται νῦν [5]). Καλλίπαις δὲ, ἡ καλῆς μητρὸς παῖς, καὶ ἡ καλὴ παῖς [6]). Ἀνδρόπαις, ὁ ἀνδρείου [7]) παῖς, καὶ ὁ ἀνδρεῖος παῖς, καὶ τὰ λοιπὰ ὁμοίως. Ἐλέγχει δὲ τὸ πῶς χρὴ [8]) νοεῖν ταῦτα ἡ ἔννοια.

Ἴσμα] Ἵδρυμα, τάφον, παρὰ τὸ ἵζω ῥῆμα.

Φοιβάζων] Πλύνων, καθαίρων τοῖς ὕδασιν· ὅθεν φοίβη, τὸ ὕδωρ, καὶ πᾶν καθαρόν.

732 — 37. Πρώτη δὲ καί ποτ' αὖθις] Τίμαιος [9]) ὁ Σικελός [10]) φησι, Διότιμον, τῶν Ἀθηναίων [11]) ναύαρχον, παραγενόμενον εἰς Νεάπολιν, κατὰ χρησμὸν θῦσαι τῇ Παρθενόπῃ, καὶ δρόμον ποιῆσαι λαμπαδικὸν, ὅνπερ λαμπαδικὸν [12]) ἀγῶνα καὶ δρόμον οἱ Νεαπολίται [13]) ἐτησίως ἐτέλουν.

3) ἡ δὲ ἔννοια — ἀλήθειαν) Vit. 1. et Ciz. non agnoſcunt, recte, ni fallimur, nam διπλῶς mox ſqq. verbis explicatur, et ad extr. eadem repetuntur.

4) λέγεται καὶ) Abſunt a Vitt. 2 et 3.

5) νοεῖται νῦν) Vit. 1. et Ciz. νῦν κεῖται.

6) ἡ καλὴ παῖς) Sic quoque ſchol. Eurip. Oreſt. 962. γράφεται δὲ τὸ καὶ καλλίπαις, καὶ καλὴ παῖς. Sed Vit. 1. et Ciz. habent ἡ καλὸν παῖδα τέξασα, aeque bene.

7) ἀνδρείου) Vitt. 2 et 3. ἀνδρὸς, omiſſis ſqq. καὶ ὁ ἀνδρ. παῖς.

8) ἐλέγχει — χρὴ) Vit. 2. ἐλ. δὲ καὶ τὸ, πῶς, deleto τῷ χρή.

9) τίμαιος) *In hiſtoria, quam de Graecanicis ac Siculis rebus conſcripſiſſe teſtantur Antigonus in Mirab. hiſt. 1, et Parthen. Erot. 29.* Sebaſt. vid. ad v. 615.

10) σικελός) In edd. vett. σικελικός, vt Vit. 1. et Ciz. ad v. 615, ſed hic noſtri omnes σικελός.

11) τῶν Ἀθην.) Pro τὸν Ἀθην. Vitt. 2 et 3. niſi malis τὸν τῶν Ἀθην. ſed Vit. 1. et Ciz. male τὸν σικελῶν ναυάρχοντα.

12) ὅνπερ λαμπ.) Male abſunt a Vit. 1. et Ciz.

13) Νεαπολίται) Vit. 1. et Ciz. Νεαπολῖται.

Ex 733. Μόψοπος] Μοψοπία [1]) πάλαι ἐκαλεῖτο ἡ Ἀττικὴ χώρα, καὶ αἱ Ἀθῆναι, ἀπό τινος Μόψοπος, ἐκεῖσε βασιλεύσαντος [2]). Διότιμος [3]) δὲ εἰς Νεάπολιν ἦλθεν, ὅτε στρατηγὸς ὢν τῶν Ἀθηναίων, ἐπολέμει τοῖς Σικελοῖς.

Ex 736. Ἄκλυστον] Πολύκλυστον, ἢ ἀκύμαστον [4]).

Ex 737. Ὅρμων Μισηνοῦ] Μισηνὸς ὅρμος, ἤτοι λιμὴν [5]) Νεαπολιτῶν. Καταχρηστικῶς δὲ λέγεται ὅρμος ὁ λιμήν· λιμὴν γὰρ λέγεται [6]) τὸ ὅλον πλάτος καὶ ὁ κόλπος, ὅπου καταίρουσιν αἱ ὁλκάδες· ὅρμος δὲ ἡ στάσις μιᾶς ἑκάστης ὁλκάδος. Μισηνὸς δὲ, ὄρος Νεαπολιτῶν.

Στυφλὰ κλίτη] Τραχέα μέρη καὶ κλίματα, ἢ ἀκρωτήρια [7]).

738. Βύκτας δ' ἐν ἀσκῷ] Αἴολος, ὁ Ἱππότου [1]), ἐν Ῥηγίῳ τῆς Ἰταλίας ὢν βασιλεὺς [2]), ἀστρονομικώτατος καὶ πολύπειρος, ἐφρόντισε μᾶλλον εἰδέναι περὶ τῶν ἀνέμων, χάριν τῶν ναυτιλλομένων, καὶ προλέγειν, ὡς τυχὸν, εἰ ἐν Ταύρῳ ἄστρῳ πλεύσειαν [3]), μέχρι τοῦδε [4]) Ζέφυρος αὐτοῖς ἔσεται πνέων ἄνεμος, εἰ ἐν δύσει τοῦ κυ-

1) μοψοπία) Vitt. 2 et 3. μοψοποία. Seq. πάλαι omittunt Vit. 1. et Ciz.

2) ἐκεῖσε βασ.) Soli Vit. 1. et Ciz. addunt.

3) Διότιμος — Σικελοῖς) Desunt in Vit. 1. et Ciz. non inepte, nam iam antea sunt occupata.

4) ἀκύμ.) Nostri ἀχείμαστον.

5) Μισηνὸς — λιμὴν) Vit. 1. et Ciz. modo ἤτοι λιμένα.

6) λιμὴν γ. λέγεται) Vit. 1. et Ciz. inuerso ordine primum ponunt: ὅρμος γὰρ ἡ στάσις, deinde λιμὴν δὲ λέγεται. Pro στάσις Vitt. 2 et 3. σύστασις, et Μισηνὸς δὲ ὄρ. Νεαπολ. in iis desunt.

7) ἢ ἀκρωτ.) Vitt. 2 et 3. delent.

1) ὁ ἱππότου) Vitt. 2 et 3. non bene ὁ ἱππότης.

2) βασιλεὺς) Delent Vitt. 2 et 3.

3) πλεύσειαν) Vit. 1. et Ciz. πλεύσειε.

4) τοῦδε) Pro τοῦ δὲ nostri cum Seb.

νὸς, τοιόςδε, καὶ ἐν τῇ ἀνατολῇ αὐτοῦ ἕτερος, καὶ τούτου ἕνεκα ἐμυθεύσαντο, αὐτὸν δεσπότην [5]) εἶναι ἀνέμων. Ὁμοίως δὲ καὶ τὸν Ἀμακλείδην [6]), καὶ Πρωτοκλῆ [7]), καὶ Πρωτοκρέοντα [8]), ὥς φησιν Ὀρφεύς [9]). Οὕτως οὖν ἔφασαν αὐτοὺς δεσπότας εἶναι ἀνέμων, ὥς καὶ [10]) δέειν ἀσκοῖς, ὃν ἂν βούλοιντο αὐτῶν, τοὺς δ' ἄλλους ἐᾶν ἀναπνεῖν [11]). Οὕτω γοῦν καὶ τοῦτον τὸν Αἴολον φασὶ [12]) τοὺς ἄλλους ἀνέμους ἐν τῷ ἀσκῷ συνδήσαντα [13]) δοῦναι τῷ Ὀδυσσεῖ· Ζέφυρον δὲ μόνον ἐᾶσαι πνέειν, ὡς αὐτῷ χρειωδέστατον καὶ φορόν. Καὶ Ὅμηρος [14]):

> Δῶκε δέ μοι δείρας ἀσκὸν βοὸς ἐννεώροιο·
> Ἔνθα δὲ βυκτάων ἀνέμων κατέδησε κέλευθα·
> Κεῖνον γὰρ ταμίην ἀνέμων ποίησε Κρονίων,
> Ἠμὲν παυέμεναι, ἠδ' ὀρνύμεν, ὅν κ' ἐθέλῃσιν.

Ἐγὼ δὲ καὶ τὸν ἀσκὸν δέχομαι· φασὶ γὰρ οἱ μάγοι [15]), καὶ οἱ τὰ ἀῤῥητουργικὰ γράφοντες, ὡς ἐάν τις δελφῖνα

5) δεσπότην) Vit. 1. et Ciz. ἐπιστάτην.

6) Ἀμακλ.) Vitt. 2 et 3. Ἀμακλείδη. Etymol. M. Suidas et Phauor. ad τριπάτορες, Ἀμαλκείδην.

7) πρωτοκλῆ) Suid. πρωτοκλέα: Etymol. male πρωτοκλείαν.

8) πρωτοκρέοντα) Restituimus e nostris et Etymol. pro πρωτοκλέοντα, quod Suidas habet, vnde sumsit Seb.

ἕτερος Ἡρακλῆς ἐκεῖ ἀνῃρέθη) φθίσει καὶ φθερεῖ [12]) ἐν θοίναισι καὶ εὐωχίαις ὁ δράκων ὁ Τυμφαῖος καὶ Ἠπειρώτης, ἤτοι ὁ Πολυσπέρχων, ὁ πρόμος καὶ [13]) ὁ πρόμαχος τῶν Αἰθίκων [14]) καὶ Ἠπειρωτῶν. Τίνα φθίσει; τὸν Ἡρακλέα, τὸν ἀπὸ τῆς σπορᾶς τοῦ Αἰακοῦ καὶ Περσέως, καὶ οὐ πόῤῥω τῶν αἱμάτων τοῦ Τημενοῦ. Ἡ δὲ ἱστορία τοιαύτη· Ἀλεξάνδρου τοῦ Μακεδόνος καὶ Βαρσίνης [15]) τῆς Περσίδος υἱὸς ἐγένετο καλούμενος Ἡρακλῆς, ὃν ἀνεῖλε καλέσας εἰς δεῖπνον Πολυσπέρχων ὁ Τυμφαῖος, Αἰθίκων βασιλεὺς, χαριζόμενος Κασσάνδρῳ [16]).

Δράκων [17])] Ὁ Πολυσπέρχων, διὰ τὸ ἰῶδες τῶν φαρμάκων, ὡς φαρμάκοις αὐτὸν ἀνελών [18]).

Ἡρακλῆ] Δίχα τοῦ ν γραπτέον, ὅτι ἡ ἔμπροσθεν συλλαβὴ ἀπὸ συμφώνου ἄρχεται τοῦ φ.

Ex 802. Τυμφαῖος] Τυμφαῖοι [1]), Ἠπειρω-

12) φθερεῖ) Nostri retinent vulg. φθείρει.

13) ὁ πρόμος καὶ) Absunt a Vit. 1. et Ciz.

14) τῶν Αἰθίκων) *Plutarch. duobus locis eorum meminit, in Quaest. Gr. p. 293 et 297. adde Hesych. Steph. et Strab. VII. qui cum Tymphaeis componunt.* Thryllit.

15) Βαρσίνης) In Codd. et edd. ante Pott. μαρσίνης, male, nam Alexander, vti constat, ex Barsine, muliere Persica, genuit Herculem. Confusae sunt litterae μ et β.

16) χαρίζ. κασσ.) Vit. 1. et Ciz. non exhibent.

17) δράκων —) A Seb. huc posita in nostris Codd. vt in edd. pr. ad extr. scholii inseq. extant.

18) ὡς φαρμ. — ἀνελών) Desunt in Vit. 1. et Ciz. vt in edd. pr. Vitt. 2. vero et 3. praebent, et addunt Ἡρακλῆ — σπορᾶς a nobis quoque inserta. Thryllit. obseruat, Tzetzam voluisse, Ἡρακλῆ, non Ἡρακλῆν esse scribendum.

1) τυμφαῖοι — ὁμοίως) Vit. 1. et Ciz. τυμφ. καὶ αἴθικες, ἠπειρ. ἔθνος, bene: Vitt. 2 et 3. vt vulg. sed ἠπειρῶται pro ἠπειρωτικὸν, cf. Eustath. ad Il. p. 252. Bas.

τικὸν ἔθνος, καὶ Αἴθικες ὁμοίως, ὧν καὶ Ὅμηρος [2]) μέμνηται, λέγων·

Τοὺς δ' ἐκ Πηλίου [3]) ὦσε [4]), καὶ Αἰθίκεσσι πέλασσε.

Ex 803. Τὸν Αἰακοῦ τε κἀπὸ Περσέως σπορᾶς] Τὸν Ἡρακλῆ τοῦτον ἀπὸ ταύτης λέγει κατάγεσθαι [5]) τῆς σειρᾶς, ὅτι ὁ τούτου πατὴρ Ἀλέξανδρος ὁ Μακεδὼν, κατὰ μὲν τὸν πατέρα [6]), εἰς Ἡρακλέα καὶ Περσέα ἀνάγει τὸ γένος· κατὰ δὲ μητέρα, εἰς Νεοπτόλεμον καὶ Ἀχιλλέα καὶ Αἰακόν.

Ex 804. Τημενείων] Ὁ Τημενὸς οὗτος ἔκγονος ἦν Ἡρακλέος [7]). Ἡρακλέος γὰρ καὶ Δηϊανείρας Ὕλλος. Ὕλλου δὲ καὶ Ἰόλης, τῆς Εὐρύτου, Κλεόδοτος [8]), Λίχας, καὶ Κῆυξ [9]). Κλεοδότου δὲ καὶ Περιδέας ὁ Τημενὸς οὗτος καὶ ἕτεροι.

Ἄποθεν [10])] Τὸ πο μακρὸν, διότι ἐκτείνεται ὑπὸ τοῦ δασέος, καὶ ἔστι κοινὴ συλλαβή. Ἄπω δὲ καὶ ἄπωθεν Ἀττικῶς μεγάλα γράφονται.

2) ὅμηρ.) Il. β. 744.

3) ἐκ πηλίου) Sic omnes Cdd. Perperam ergo Heyn. in Obseruu. ad h. l. Vol. IV, p. 388. Tzetzam cum Cod. Vrat. peccasse et πυλίου legisse opinatur.

4) ὦσε) Vit. 3. ὦθε.

5) κατάγ.) Vit. 3. κατάρχεσθαι: Vit. 2. κατέρχεσθαί, male.

6) τὸν πατ.) Vit. 1. et Ciz. sine art. τὸν, vt mox μητέρα sine τήν.

7) ἦν Ἡρακλέος) Vit. 1. et Ciz. ἐγένετο Ἡρακλέους.

8) κλεόδοτος) Nisi omnes omnino Codd. conspirarent in hanc lect. et nisi ipse Tzetzes in hoc nomine peccasse videretur, mutaremus id in κλεοδαῖος, vt alii habent, cff. Apollod. II, 8, 2, et Heyne in Obseruatt. p. 205. Herodot. VI, 52, et ibi Valkenar. et Pausan. III, 15. Varie autem hoc nomen corruptum esse docet etiam Facius ad Paus. II, 7, 6.

9) κῆυξ) Vit. 3. κήυξ.

10) ἄποθεν — γράφονται) Absunt a Vit. 1. et Ciz. vti iam ab edd. ante Pott. abfuerant.

805. Πέργη δέ μιν] Πέργη [1]) ὄρος Τυρσηνίας, ἔνθα φησὶ τὸν Ὀδυσσέα κεῖσθαι καέντα ἐν Γορτυναίᾳ [2]). Πῶς δὲ [3]) ὁ αὐτὸς ἐν Εὐρυτᾶσι τῆς Ἠπείρου, καὶ ἐν Τυρσηνίᾳ κεῖσθαι συνέβη [4]); Καὶ ὁ μὲν Τζέτζης [5]) κακοπλάστως αὐτόν φησι τὸν Λυκόφρονα γράφειν, καὶ ἐναντίως οὐ μόνον τοῖς ἄλλοις, ὡς ἔδειξε πολλάκις [6]), ἀλλὰ καὶ αὐτὸν ἑαυτῷ, ὥςπερ [7]) ἐνταυθὶ φησὶ γράψαι, καὶ ἐν τῷ κατωτέρῳ στίχῳ, τῷ λέγοντι· Ὅταν στενάζων τὰς κῆρας τοῦ παιδὸς Τηλεμάχου, καὶ τῆς δάμαρτος Κίρκης, ἀποθάνῃ· καὶ φησὶ γελῶν [8]), πολλὰ εἶναι τὰ ἐναντία ἐνταῦθα. Ἓν μὲν, ὅτι θανὼν πρώην ὑπὸ Τηλεγόνου, νῦν πάλιν ὡς ζῶν ἀποθνήσκει διὰ τὸν θάνατον Κίρκης καὶ Τηλεμάχου. Καὶ ἓν μὲν τοῦτό φησιν εἶναι ἐναντίον καὶ ἀνακόλουθον [9]). Δεύτερον δὲ καὶ [10]) ἀνακόλουθον τοῦτο φὴς, ὦ Λύκοφρον, ζῶντος Ὀδυσσέως, ἢ τεθνηκότος, ἐπιγαμίαν γεγονέναι [11]) Τηλεμάχου τοῦ

1) πέργη) Noſtri praemittunt art. ἡ.

2) γορτυναίᾳ) Pro γορτυνίᾳ Vit. 1. et Ciz. cum Lycophrone.

3) πῶς δὲ) Pro πῶς οὖν noſtri, melius.

4) κεῖσθαι συνέβη) Ciz. et Vit. 1. pro κεῖται, bene; deinde quoque, verum minus apte, legunt Εὐρυτᾶσι, et τυρσενικῶς (τυρσενικοῖς) ſublato ἐν.

5) καὶ ὁ μὲν τζέτζης usque ad alterius ſectionis verba, ὅτι ἴσως μετετέθη, deſiderantur omnia in Vit. 1. et Ciz. haud dubie inſerta a Io. Tzetza, qui vbique nomen et doctrinam ſuam oſtentat.

6) ὡς — πολλάκις) A Seb. recepta Vitt. 2 et 3. firmant, vti quoque mox ſeq. αὐτόν.

7) ὥςπερ ἐνταυθὶ) Vitt. 2 et 3. recte, pro ὥςπ. καὶ ἐνταυθοῖ.

8) γελῶν) Vitt. 2 et 3. cum Seb. adiiciunt.

9) καὶ ἓν — ἀνακόλουθον) A Seb. inſertum Vitt. 2 et 3. quoque inſerunt, omiſſis tamen ἐναντίον καί.

10) δὲ) Pro δὲ καὶ noſtri, ſed non φὴς pro φησὶ exhibent, quod φὴς Tzetzae oſtentatori aptiſſimum eſt.

11) ἐπιγαμ. γεγον.) Noſtri cum vulg. ἐπιγαμία γέγονε, quod ſenſum dat bonum, nec opus erat correctione Sebaſt. Codd. auctoritate deſtituti.

Ὀδυσσέως, καὶ Κασσιφόνης [12]) τῆς Κίρκης παιδός. Εἰ μὲν ζῶντος, πάντως [13]) οὐ προανεῖλεν αὐτὸν ὁ Τηλέγονος, ὡς ἄγνωστον· ἐγίνωσκε γὰρ ἂν τοῦτον, ἰδὼν αὐτὸν [14]) ἐν τοῖς τοῦ παιδὸς γάμοις· εἰ δὲ τεθνηκότος, πῶς ὁ ἤδη θανὼν πάλιν [15]) ὥςπερ ἀπὸ μηχανῆς κωμικῆς ζωωθεὶς ὑπὸ σοῦ παρεισάγεται [16]), τὴν Κίρκην θανοῦσαν θρηνῶν, καὶ Τηλέμαχον, καὶ τῷ πάθει αὐτῶν τελευτῶν;

Ἐμοὶ ταῦτα, ὦ Λύκοφρον, ἀνακόλουθα καὶ γελοιωδέστατα φαίνεται [17])· οὐ μόνον δὲ τὰ τοιαῦτα σὰ ῥήματα, ἀλλὰ καὶ τὰ τῶν πειρομένων ἐν τοῖς τοιούτοις [18]) συμμαχεῖν σοι. Φασὶ γάρ τινες ἀσκεπτότεροι καὶ ἀπαίδευτοι, ὅτι θανόντα τὸν Ὀδυσσέα ὑπὸ Τηλεγόνου Κίρκη φαρμάκοις ἀνέστησεν, ἡ προαναιρεθεῖσα Τηλεμάχῳ, καὶ μηδ' ἑαυτὴν [19]) ἐγεῖραι δυναμένη. Καὶ λοιπὸν ἡ παροιμία ἐπὶ ταύτῃ [20]) πεπλήρωται·

Ἄλλων ἰατρὸς, αὐτὸς ἕλκεσι βρύων [21]).

Ἢ, ὡς ὁ νεκρὸς ἐκεῖνος, ὁ σωτὴρ Σιμωνίδου [22]), καὶ

12) κασσιφ.) Vitt. 2 et 3. κασιφ. ſimplici σ, atque ſic etiam poſtea.

13) πάντως) Vit. 3. πάντων.

14) αὐτὸν) A Seb. additum Vitt. 2 et 3. non addunt.

15) θανὼν πάλιν) Vit. 3. θανὼν πάλαι, non inepte.

16) παρεισάγ.) Vit. 3. παράγεται, omiſſis quoque ſqq. τὴν κίρκην.

17) ἐμοὶ — φαίνεται) Ita quoque cum Seb. Vit. 2. pro ἐμοὶ μὲν ἀνακόλ. ταῦτα φαίνεται.

18) ἐν τοῖς τοιούτ.) Noſtri cum Seb. inſerunt.

19) ἑαυτὴν) Vit. 2. αὐτήν.

20) ἐπὶ ταύτῃ) Vit. 2. ἐπ' αὐτῇ: Vit. 3. ἐπ' αὐτήν.

21) βρύων) Vitt. 2 et 3. recte pro βρύεις, nam ſic Plutarch. ter, Vol. VI, p. 264 et 328. et Vol. X, p. 567, ed. Reisk. Seb. laudat Luc. IV, 23. Ἰατρὲ, θεράπευσον σεαυτόν.

22) Σιμωνίδου) Vitt. 2 et 3. male Σιμωνίδης. *Epigramma Simonidis in mortuum, quem repertum humauerat, et a quo per ſomnium monitus naufragium euaſerat, memorant Io. Tzetz. in Chil.* I, 24. *Val. Max.* I, 7, 3. *Libanius* διηγήμασι *c.* 7, *p.* 53.

νῦν [23]) αὕτη τῷ Ὀδυσσεῖ τεθνηκυῖα χάριτας παρέχει. Ταῦτά φησιν ὁ Τζέτζης περὶ τούτων τῶν κακοπλάστων καὶ ἀνακολούθων καὶ [24]) ἐναντίων, τοῦ τε κεῖσθαι τὸν Ὀδυσσέα ἐν Ἠπείρῳ καὶ Τυρσηνίᾳ, καὶ ἔτι πλέον [25]) περὶ τοῦ ὑπὸ Τηλεγόνου θανόντος [26]) αὐτοῦ, καὶ πῶς πάλιν φαίνεται ζῶν καὶ θνήσκων διὰ τὸν θάνατον Κίρκης καὶ Τηλεμάχου [27]). Ἄλλοι δέ φασι, περὶ μὲν τοῦ πρώτου λόγου, ὅτι ἴσως [28]) μετετέθη ἀπὸ Εὐρυτάνων καὶ Ἠπείρου εἰς Τυρσηνίαν. Καὶ τοῦτο μὲν τῷ Τζέτζῃ, ὡς ἐχόμενον [29]) πιθανότητος, οὐ παντελῶς ἀπόβλητον φαίνεται, διὰ τὸ ἐν πολλοῖς τὸν Λυκόφρονα τοῦτον εὑρίσκειν, τοιαῦτα πολλὰ μισεῖν [30]). Ἄλλοι δέ φασιν, ὅτι ἀναιρεθεὶς ὁ Ὀδυσσεὺς ὑπὸ Τηλεγόνου, πάλιν ὑπὸ τοῖς τῆς [31]) Κίρκης φαρμάκοις ἀνέστη, καὶ ἐγήματο [32]) Κασσιφόνην Τηλεμάχῳ. Πηνελόπη δ' ἐν Μακάρων νήσοις ἐγήματο Τηλεγόνῳ [33]).

Cic. de Diuin. I, 27. *et schol. Aristidis ap. Vrsin. fragm. p.* 330. Thryllit. Add. Anthol. T. I, p. 137. LX. cf. ibi Iacobs.

23) νῦν) Nostri cum Seb. adiiciunt.

24) καὶ) Delent Vitt. 2 et 3.

25) πλέον) A Seb. adiunctum Vitt. 2 et 3. quoque adiungunt.

26) θανόντος) Nostri cum vulg. θανάτου, male.

27) τηλεμ.) Vit. 3. inepte τηλεγόνου.

28) ὅτι ἴσως — usque ad ἐγήματο τηλεγόνῳ) Vit. 1. et Ciz. sic: ὅτι μετετέθη ἀπὸ εὐρυτάνων εἰς πέργην, ἢ ὅτι μῦθος φέρεται, ὅτι μετὰ τὸ ἀνελεῖν αὐτὸν τὸν τηλέγονον ἡ κίρκη φαρμάκοις ἀνέστησεν, ὁ δὲ τηλέγονος πηνελόπην ἐν μακάρων νήσοις ἐγήματο. Haec videntur esse recensionis primae, sed, quae Seb. cum Vitt. 2 et 3. exhibent, secundae.

29) ἐχόμενον) Vit. 3. ἐχόμενα.

30) τοιαῦτα — μισεῖν) Vitt. 2 et 3. πάντα τὰ τοιαῦτα μισεῖ, ita vt μισεῖ ad ipsum Tzetzam pertineat.

31) τοῖς τῆς) Vit. 3. bene pro τῆς.

32) καὶ ἐγήματο — τηλεμ.) Absunt a Vitt. 2 et 3.

33) πηνελόπη — τηλεγ.) Nostri omnes πηνελόπην — τηλέγονος, quod idem est.

806. Ἐν Γορτυναίᾳ [1])] Θεόπομπός φησιν, ὅτι παραγενόμενος ὁ Ὀδυσσεὺς, καὶ τὰ περὶ τὴν Πηνελόπην ἐγνωκὼς, ἀπῆρεν εἰς Τυρσηνίαν, καὶ ᾤκησε τὴν Γορτυναίαν, ἔνθα καὶ τελευτᾷ ὑπ' αὐτῶν [2]).

808. Παιδός τε καὶ δάμαρτος] Τηλέμαχος [3]) ἔγημε Κασσιφόνην, τὴν [4]) θυγατέρα Κίρκης. Καὶ Κίρκην μὲν ἀναιρεῖ Τηλέμαχος, μὴ φέρων αὐτῆς τὰ προστάγματα· ἀναιρεῖται δὲ καὶ αὐτὸς ὁ Τηλέμαχος ὑπὸ Κασσιφόνης, τῆς αὐτοῦ [5]) γυναικὸς, ἐκδικούσης Κίρκην τὴν μητέρα. Ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι ἀποθανεῖται ὁ Ὀδυσσεὺς, ὁρῶν τὰ παθήματα, Κίρκην ἀναιρουμένην ὑπὸ Τηλεμάχου, Τηλέμαχον δὲ ὑπὸ Κασσιφόνης.

811. Γλαύκωνος Ἀψύρτοιό τε αὐτανεψίας] Εἶπον [6]) τὴν ἱστορίαν ὄπισθεν, ὅμως καὶ πάλιν ἐρῶ. Τὸν Γλαῦκον Γλαύκωνα εἶπε. Γλαῦκος γὰρ [7]), καὶ Ἄψυρτος, καὶ Κασσιφόνη, καὶ οἱ λοιποὶ, οὓς εἶπον, αὐτανέψιοι, ἤτοι ἐξάδελφοι· ἀδελφῶν [8]) γὰρ, ὡς ἔφην, ἦσαν παῖδες, Πασιφάης ὁ Γλαῦκος, Αἰήτου ὁ Ἄψυρτος, Κίρκης δὲ ἡ Κασσιφόνη. Ὁ δὲ Γλαῦκος, ὃν εἶπο-

1) γορτυναίᾳ) Noſtri cum Seb. pro γορτυνίᾳ. Quod ad Theopompum attinet, Seb. haec addit: Chius ille, Iſocratis diſcipulus, de quo eiusque ſcriptis praeter Phot. in Bib. Cod. 176. vid. Voſſ. de Hiſt. Gr. I, 7. niſi malis Athenienſem illum, poetam Comicum, intelligere, in fabula, quam titulo *Vlyſſes* docuiſſe conſtat ex Ariſtoph. ſchol. in Veſp. v. 1337. et Athen. IV, c. 18. conſule Meurſ. B. Attic. L. VI.

2) ὑπ' αὐτῶν) Addunt Vitt. 2 et 3.

3) τηλέμαχ.) Vitt. 1. et 3. τηλέγονος, vitioſe.

4) τὴν) Adponunt recte Vitt. 2 et 3.

5) τῆς αὐτοῦ usque ad ὑπὸ κασσιφόνης deſunt in Vitt. 2 et 3. Eudocia p. 394. habet, quam alias Vitt. 2 et 3., inprimis 3., plerumque ſequuntur.

6) εἶπον — ἐρῶ) Vit. 1. et Ciz. non praebent, vid. ad v. 798. et Palaephatum c. 27.

7) γὰρ) Pro δὲ Vit. 1. et Ciz. bene.

8) ἀδελφῶν) Vitt. 2 et 3. ἀδελφοῦ.

μεν [9]), διώκων μῦν, πεσὼν εἰς πίθον, μέλιτος γέμοντα [10]), ἀπεπνίγη· ἀνεζωώθη δὲ, ὥς φασιν, ὑπὸ τοῦ μάντεως Πολυείδου [11]), τοῦ υἱοῦ Κοιρανοῦ [12]), τοῦ καὶ εἰπόντος, ἐν τῷ πίθῳ εἶναι πεπνιγμένον [13]). Ψηλαφῶν γὰρ τὸν Γλαῦκον ὁ πατὴρ αὐτοῦ Μίνως, οὐχ εὕρισκεν, ἐδόθη [14]) δὲ τούτῳ χρησμὸς, ἐκεῖνον [15]) εἰπεῖν περὶ τοῦ παιδὸς, ποῦ αὐτὸν εὑρήσει; ἔτι δὲ καὶ ἀναστήσειν αὐτὸν, ὃς εἴπῃ, τίνι ὁμοία ἐστὶν ἡ τρίχρωμος τοῦ Μίνωος βοῦς, ἡ ἐν τοῖς ἀγροῖς. Πολύειδος δὲ αὐτὴν εἶπεν ὁμοίαν εἶναι καρπῷ βάτου, καὶ ὁ Μίνως κατέσχεν αὐτὸν εἰπὼν [16]), ποῦ ἐστὶν ὁ Γλαῦκος· ὅδ' ὑπὸ τῆς μαντείας [17]) εἶπεν, αὐτὸν ἐν τῷ πίθῳ [18]) τοῦ μέλιτος εἶναι πεπνιγμένον. Εὑρεθέντος δὲ αὐτοῦ νεκροῦ, συναπεκλείσθη αὐτῷ ἔν τινι οἰκήματι, ὥστε ζωῶσαι αὐτόν. Εἶδε [19]) δὲ δράκοντα ἐπὶ τὸν νεκρὸν ἐρχόμενον, θέλων [20]) ἀγριῶσαι τὸν δράκοντα, ὅπως ἀναιρεθῇ ὑπ' [21]) αὐτοῦ, βαλὼν [22]) τυχαίως, ἀν-

9) εἴπομεν) Vit. 1. et Ciz. εἶπον.

10) γέμοντα) Abeſt a Vitt. 2 et 3.

11) πολυείδου) Vit. 1. et Ciz. πολυίδου, vid. Heyne ad Apollod. III, 3, 1.

12) κοιρανοῦ) Sic quoque Vit. 1. et Apollod. l. l. Ciz. male omittit. Vitt. 2 et 3. cum Eudoc. p. 97. κοιράνου.

13) τοῦ καὶ — πεπνιγ.) In Vitt. 2 et 3. non comparent.

14) ἐδόθη usque ad αὐτοῦ νεκροῦ) Vit. 1. et Ciz. breviſſime ſic: μέλλοντος δὲ αὐτὸν ζωῶσαι τοῦ πολυίδου τοῦ εἰπόντος εἶναι αὐτῷ πίθῳ. Vitt. 2 et 3. autem omnia, vt vulg. habent, haud dubie aucta a Io. Tzetza.

15) ἐκεῖνον) Vit. 3. ἐκείνῳ.

16) εἰπὼν) Pro εἰπεῖν Vitt. 2 et 3. recte.

17) μαντείας) Pro μαντικῆς Vitt. 2 et 3.

18) ἐν — πίθῳ) Vitt. 2 et 3. delent ἐν, nec addunt τοῦ μέλιτος a Seb. additum.

19) εἶδε) Sic Vit. 1. et Ciz. vt Apollod. l. l. pro ἰδὼν, bene. Vitt. 2 et 3. ἕτερος δὲ ἰδών.

20) θέλων — ὑπ' αὐτοῦ) Abſunt a Vit. 1. et Ciz. vti etiam ab Apollodoro.

21) ἀναιρεθῇ ὑπ') Vit. 2. ἀναιρεθῆναι παρ'.

22) βαλὼν) Vit. 1. et Ciz. ὃν βαλ.

εἶλεν αὐτόν. Ἕτερος δὲ δράκων ἐλθὼν, καὶ βοτάνην ἐπιθεὶς [23]) τῷ τεθνηκότι δράκοντι, ἤγειρεν αὐτόν. Ταύτην τὴν βοτάνην λαβὼν ὁ Πολύειδος, καὶ ἐπιθεὶς τῷ Γλαύκῳ, ἤγειρεν αὐτόν [24]). Μίνως δὲ οὐδὲ οὕτω [25]) τὸν Πολύειδον εἴα εἰς τὴν ἑαυτοῦ πατρίδα, τὸ Ἄργος [26]), ἀπελθεῖν, πρὶν τῷ Γλαύκῳ διδάξαι τὴν μαντικήν· ὃς καὶ [27]) διδάσκει αὐτόν· ἀποπλέων [28]) δὲ, κελεύει τὸν Γλαῦκον εἰς τὸ ἑαυτοῦ στόμα ἐμπτύσαι, καὶ τοῦτο ποιήσας ὁ Γλαῦκος, τὴν μαντικὴν [29]) ἐπελάθετο.

813. Ἄστρεπτον [1]) Ἀΐδην] Ἐπεὶ [2]) πρῶτον, ὡς [3]) ληροῦσιν, ὑπὸ Κίρκης ἀνέστη ἀποθανών. Ἐγὼ δέ φημι [4]), ἐπεὶ κατῆλθεν εἰς Αἴδην διὰ τὸν Τειρεσίαν [5]), καὶ ἀνῆλθε πάλιν [6]), ὃ καὶ [7]) ἀλληγορεῖται, ὅτι λεκανομαντείαν ἐποίησε καὶ τὴν Τειρεσίου ψυχὴν ἠρώτησε. Τούτου χάριν φησὶν, ὅτι ἄστρεπτον Αἴδην ὑπεισῆλθε [8]),

23) ἐπιθεὶς) Vit. 1. et Ciz. ἐπιτιθεὶς, Eudoc. ἐπιθέντα.

24) ταύτην — ἤγειρεν αὐτόν) Non bene absunt a Vitt. 2 et 3. nam Apollod. et Eudocia exhibent.

25) οὐδὲ οὕτω) Sic quoque Vitt. 2 et 3. cum Apollod. sed Vit. 1. et Ciz. οὐκ.

26) τὸ Ἄργος) Deest in Vit. 1. et Ciz. Apollodor. habet.

27) ὃς καὶ) Pro καὶ ὃς Vit. 1. et Ciz. bene.

28) ἀποπλέων) Nostri pro ἀποδημῶν, recte. Apollod. ἐπεὶ ἀπέπλει.

29) τὴν μαντικὴν) Sic nostri cum Apollodoro pro τῆς μαντικῆς. Vit. 1. et Ciz. etiam praeeunte Apollodoro omittunt πάλιν. Vitt. 2 et 3. ἐλάθετο pro ἐπελάθ. quod est Apollodori.

1) ἄστρεπτ.) Vitt. 2 et 3. hic et in sqq. ἄτρεπτον.

2) ἐπεὶ) Vit. 1. et Ciz. ἐπειδή.

3) ὡς) Abest a Vit. 3.

4) ἐγὼ — φημί) Vit. 1. et Ciz. modestius ἤ: illud videtur esse ex emendatione Io. Tzetzae.

5) κατῆλθεν — τειρεσίαν) Vitt. 2 et 3. κατῆλθε πάλιν εἰς τειρεσ. corrupte.

6) καὶ ἀνῆλθε πάλιν) Vit. 1. et Ciz. hic ignorant: ad extr. habent.

7) ὃ καὶ) Vitt. 2 et 3. delent καί.

8) ὑπεισῆλθε) Sic Vitt. 2 et 3. cum Seb. sed Vit. 1. et Ciz. vt edd. pr. ὑπεισέλθοι.

καὶ οὐ τοιοῦτον, οἷον ὅτε κατῆλθε, ζητῶν τὴν ψυχὴν Τειρεσίου 9), καὶ πάλιν ἀνῆλθε.

817. Μεσσαβοῦν 1)] Ἐν σ γράφεται μεσαβοῦν· λέγεται δὲ τὸ ζευγνύειν κυρίως βόας· καταχρηστικῶς δὲ καὶ ἕτερα ζῶα. Μέσαβα δὲ λέγονται αἱ τοῦ ζυγοῦ γλυφαὶ, ἔνθα οἱ αὐχένες τῶν βοῶν 2) δέδενται, ὡς Καλλίμαχος 3)·

. . . . μεσάβους ὑποδύς.

Ὁ δὲ Λυκόφρων ἀδείᾳ 4) στιχουργίας, πῆ μὲν διπλασιάζει τὰ σύμφωνα, πῆ δὲ ἀφαιρεῖται 5) τὰς διπλόας, καὶ, ἁπλῶς εἰπεῖν, παντοίως 6) τὴν ἀλήθειαν συγχέει ἱστοριῶν 7) ψεύδεσι, καὶ βαρβάροις παραφθοραῖς 8) καὶ τόπων καὶ λέξεων, οἷς πᾶσι καὶ σκυτεὺς χρησάμενος, οὐκ ἂν ἐστενώθη πρὸς 9) στιχουργίαν. Μέσσαβα δὲ καὶ μεσσαβοῦν 10), διὰ δύο σσ γράφων 11) τὶς, Αἰολικῆς

9) τειρεσ.) Nostri delent praeposit. τοῦ, et ἀνῆλθε legunt pro ἀνῆλθεν.

1) μεσσαβ.) Sic Vit. 1. et Ciz. et hinc modo: ἐν σ, sine γράφεται et μεσαβοῦν, quod Seb. cum Vitt. 2 et 3. adiecit.

2) τῶν βοῶν) Vit. 3. ζώων.

3) ὡς καλλίμαχ. — usque ad πρὸς στιχουργίαν Vit. 1. et Ciz. ignorant, sine dubio a Io. Tzetza inserta, vt haberet, quo Lycophronem reprehenderet. Verba vero ὡς καλλ. — ὑποδὺς absunt quoque a Vitt. 2 et 3. vid. Callimach. p. 287. ed. Spanh.

4) ἀδείᾳ) Vitt. 2 et 3. ἀργίᾳ, in ora tamen Vit. 3. ἀδείᾳ.

5) ἀφαιρεῖται) Vit. 2. ἀναιρεῖται: Vit. 3. ἀναιρεῖ.

6) παντοίως) Vitt. 2 et 3. cum Seb. pro παντοίαν.

7) ἱστοριῶν) Vitt. 2 et 3. sine καὶ, quod vulg. praemittit.

8) βαρβ. παραφθ.) Vitt. 2 et 3. βαρβάρων περιφοραῖς, perperam.

9) πρὸς) Vitt. 2 et 3. εἰς.

10) μέσσαβ. — μεσσαβοῦν) Sic Vitt. 2 et 3. sed pro his Vit. 1. et Ciz. reliquis sublatis, iterum pergunt: εἰ δέ.

11) γράφων) Vitt. 1. 2. et Ciz. γράφει.

διαλέκτου [12]) τοῦτο λεγέτω, κἂν ὁ Λυκόφρων οὗτος Χαλκιδεὺς, ἤτοι [13]) Ἀττικός ἐστι.

818. Πλασταῖσι λύσσης μηχαναῖς] Φασὶ γὰρ [1]), ὅτι ὁ Ὀδυσσεὺς, ἡνίκα οἱ Ἕλληνες ἠνάγκαζον αὐτὸν ἐπὶ Τροίαν στρατεύεσθαι, προσεποιήσατο μαίνεσθαι, καὶ ζεύξας ὄνον καὶ βοῦν, ἠροτρία. Παλαμήδης δὲ αὐτὸν ἐξήλεγξεν Ἕλλησι· Τηλέμαχον γὰρ, τὸν Ὀδυσσέως παῖδα [2]), λαβὼν, τέθεικε πρὸ τοῦ ἀρότρου. Ὀδυσσεὺς δὲ φοβηθεὶς, μὴ πλήξῃ τὸν παῖδα, τὸ ἄροτρον [3]) ἐπέσχε, καὶ ἐγνώσθη τοῖς Ἕλλησιν, ὅτι πλαστῶς ἐμαίνετο [4]). Ἀλλ', ὡς προϋπεσχέθην [5]), τὴν Ὀδυσσέως πᾶσαν ὑπόθεσιν κεφαλαιωδῶς λεκτέον, καὶ μετὰ ταῦτα [6]) τῶν καθεξῆς ἀψόμεθα.

Μετὰ τὴν Ἰλίου πόρθησιν Ὀδυσσεὺς ἐξωσθεὶς [7]) ἀνέμοις, καταίρει πρὸς Κίκονας, καὶ τὴν πόλιν αὐτῶν

12) αἰολ. διαλ.) Vitt. 2 et 3. αἰολικῇ διαλέκτῳ.

13) ἤτοι) Pro ἢ noſtri cum editt. pr. Vitt. 2 et 3. quoque delent ἐστί.

1) φασὶ γὰρ) Pro φασὶν Vitt. 2 et 3. bene.

2) ὀδυσσ. παῖδα) Noſtri cum Eudoc. p. 321. ὀδ. υἱὸν, et Vit. 1. et Ciz. αὐτοῦ pro ὀδυσσ.

3) παῖδα, τὸ ἄροτρ.) Vitt. 2 et 3. παῖδα τῷ ἀρότρῳ. Eudoc. l. l. ἐπῆρε τὸ ἄροτρον, μὴ πλήξῃ τὸ παιδίον.

4) ἐμαίνετο) Vit. 1. et Ciz. μαίνεται, cf. ſupra ad v. 384.

5) Ἀλλ', ὡς προϋπεσχέθην vsque ad v. 820. omnia in Vit. 1. et Ciz. deſiderantur, quae vero quis credat a librario eſſe omiſſa? Sunt haud dubie poſtea interiecta, cum iam haec ſcholia ab Iſaac. Tzetza eſſent conſcripta et edita. Vitt. 2 et 3. praebent, vti multa alia, quae videntur in altera editione vel recenſione a Io. Tzetza adiecta. Sequitur autem ſcholiaſt. in hac hiſtoria κατὰ πόδα Homeri Odyſſ. ι. κ. λ. μ. et ν. et quaſi in compendium redegit. Caeterum Vitt. 2 et 3. ἀλλ' ὡς — προϋπεσχέθ. habent pro ἄλλως, bene.

6) καὶ μετὰ ταῦτα) Pro εἶθ' οὕτως cum Seb. Vitt. 2 et 3.

7) ἐξωσθεὶς) Pro ἐξωθεὶς Vitt. 2 et 3. rectius, et poſtea quoque ἐξωσθέντες pro ἐξωθέντες.

Ἴσμαρον, τὴν νῦν λεγομένην Μαρώνειαν, πορθεῖ, καὶ ἔμελλεν ἀποπλεῖν. Οἱ δὲ φίλοι αὐτοῦ οὐκ εἴων αὐτόν. Τῇ ἐπαύριον δὲ οἱ ἠπειρῶται Κίκονες πανσυδὶ [8]) ἀθροισθέντες, πανημερίως ἐμάχοντο. Περὶ δὲ ἑσπέραν οἱ Ὀδυσσέως ἡττῶνται, ἀποβαλόντες ἄνδρας οβ΄, ἤτοι ἀφ' ἑκάστης νηὸς ἄνδρας ς΄. Ιβ΄ γὰρ εἶχε ναῦς ὁ Ὀδυσσεύς. Οὕτω δὲ [9]) ἡττηθέντες, ἀκουσίως ἀπέπλεον. Ἀνέμοις δὲ συσχεθέντες δεινοῖς, καὶ μόλις ἐξελθόντες εἰς γῆν, δύο ἡμέρας ὅλας ἔκειντο ἐν τῇ γῇ [10]). Τῇ τρίτῃ δὲ ἡμέρᾳ πλεῖν ἀπαρξάμενοι [11]), μικροῦ δεῖν ἀβλαβεῖς ἵκοντο πρὸς [12]) τὰς πατρίδας. Ἀπὸ δὲ Μαλέου [13]), ἀκρωτηρίου Πελοποννήσου, ἐξωσθέντες, θ΄ νυχθήμερα δεινοῖς ἀνέμοις ἐφέροντο. Τῇ δεκάτῃ δὲ ἡμέρᾳ τῇ γῇ τῶν Λωτοφάγων, ἤτοι τῶν Καμαριναίων προσέπλευσαν [14]). Ὑδρευσάμενοι δὲ, δειπνοῦσι περὶ τὰς ναῦς, εἶτα ἔπεμψαν τρεῖς ἰδεῖν τὴν χώραν, οἱ γευσάμενοι τοῦ λωτοῦ, ὑποστρέφειν οὐκ ἤθελον. Δήσας δὲ ὁ Ὀδυσσεὺς αὐτοὺς, ἀπέπλεε, καὶ ἦλθον [15]) νυκτὶ, οὐκ εἰδότες, εἰς νῆσον μικρὰν [16]) τῶν Κυκλώπων ἔρημον, αἶγας δὲ ἀγρίας πολλὰς ἔχουσαν· ὧν τῇ ἐπαύριον ρκή θηρεύσαντες, εἱστιῶντο [17]) πανημερίως. Περὶ δὲ τὴν ἑσπέραν πῦρ [18]) ἔβλεπον ἐν τῇ γῇ τῶν Κυκλώπων, καὶ φωνῆς ἀμυδρᾶς [19])

8) πανσυδὶ) Pro πανσυδὴν recte Vitt. 2 et 3.

9) οὕτω δὲ) Vit. 3. οὕτω γάρ.

10) ἐν τῇ γῇ) Nostri cum Seb. pro πρὸς τὴν γῆν.

11) ἀπαρξ.) Vit. 2. ἐπαρξ.

12) πρὸς) Vit. 3. εἰς.

13) Μαλέου) Vit. 3. μαλίου: aliis dic. μαλία s. μαλεία.

14) προσέπλευσαν) Pro προσεπέλασαν Vitt. 2 et 3. bene.

15) ἦλθον) Vit. 2. ἦλθε, non apte seq. εἰδότες.

16) μικρὰν — ἔρημον) Nostri μακρὰν ἔρημ. deletis τῶν κυκλώπων, h. e. vt interpretatur Thryllit. *late desertam:* cf. tamen Hom. Odyss. ι, v. 116 sqq. vbi vid. Ernesti. Mox dic. iterum νῆσος μικρά.

17) εἱστ.) Male Seb. ἑστιῶντο.

18) πῦρ) Vit. 3. delet bene praepositum καί.

19) ἀμυδρᾶς) Pro ἀμυδρῶς Vitt. 2 et 3. cum Seb. Hom.

ἤκουον. Τῇ ἐπαύριον δὲ ὁ Ὀδυσσεὺς τὰς ἕνδεκα ναῦς αὐτοῦ [20]) καταλιπὼν ἐν τῇ μικρᾷ [21]) νήσῳ, μιᾷ νηῒ μόνῃ, τῇ ἑαυτοῦ [22]), ἀποπλεῖ πρὸς τὴν γῆν τῶν Κυκλώπων, κωπηλασίᾳ χρησάμενος. Καὶ περί [23]) τινα πετρώδη καὶ ἀπόκρυφον αἰγιαλὸν ταύτην [24]) ἀποκρύπτει τὴν ναῦν σὺν τοῖς λοιποῖς ἑταίροις· αὐτὸς δὲ ιβ΄ μόνους λ βῶν τῶν ἑταίρων, καὶ οἴνου Μαρωνείτου ἀσκὸν, καὶ βρ΄ κτα, εἰσῆλθεν εἰς [25]) τὸ τοῦ Κύκλωπος σπήλαιον, ἐκείνο περὶ νομὴν τῶν [26]) προβάτων ἠσχολημένου.

Ἱκετευόντων δὲ τῶν φίλων φαγεῖν τυροῦ καὶ γάλακτος, καὶ τῶν προβάτων λαβεῖν, καὶ ὑποχωρῆσαι, οὐκ ἤθελεν, ἕως ὁ Κύκλωψ περὶ ἑσπέραν ἐλθὼν, αὐτοὺς ἐν τῷ σπηλαίῳ κατέσχε, καὶ ἠρώτησε, ποῦ τε ἡ ναῦς αὐτῶν [27]) ἐστὶ, καὶ ὅπως αὐτὸς καλεῖτο. Ὁ δὲ αὐτὸν ἀπατᾷ, τὴν ναῦν μὲν εἰπὼν ὑπὸ τοῦ κλύδωνος λυθῆναι· αὐτὸν δὲ Οὖτιν [28]) καλεῖσθαι. Ὁ δὲ, δύο λαβὼν τῶν Ὀδυσσέως ἑταίρων, κατέφαγεν. Εἶτα ὁμοίως καὶ τῇ ἐπαύριον δύο φαγὼν, καὶ τοὺς λοιποὺς κλείσας, ἐξήλαυνε τὴν ἀγέλην ἐπὶ νομήν. Οἱ δὲ περὶ τὸν Ὀδυσσέα εὐτρεπίσαντες ξύλον ἀπωξυσμένον, ἐπὶ [29]) πυρκαϊὰν ἔθεντο, ὥστε ξηρανθῆναι καὶ [30]) στερεωθῆναι, καὶ συνέθεντο τούτῳ τυφλῶσαι αὐτὸν, ὃ καὶ ἐποίησαν· ἐλθόντος γὰρ

Odyss. ι, 267. modo αὐτῶν φθογγήν.

20) αὐτοῦ) h. e. *ibi*. Sic Vitt. 2 et 3. pro αὑτοῦ.

21) μικρᾷ) A Seb. restitutum pro μικρῇ nostri comprobant.

22) μιᾷ — ἑαυτοῦ) Nostri retinent vulg. τῇ ἑαυτοῦ μόνῃ.

23) περί) Pro παρά Vitt. 2 et 3. cum Seb.

24) ταύτην) Vitt. 2 et 3. praeponunt καὶ, non male.

25) εἰς) Vit. 3. πρός. Hom. Od. ι, 216. εἰς.

26) τῶν) Delent Vitt. 2 et 3.

27) αὐτῶν) . Vitt. 2 et 3. cum vulg. αὐτοῦ, vt Hom. Od. ι, v. 279.

28) οὖτιν) vt Homer. nostri vero οὔτιν, et postea etiam οὔτις.

29) ἀπωξυσμ., ἐπὶ) Vit. 2. pro ἀπωξυμέν., ὑπὸ. Vit. 3. ἐπεξυσμένον. cf. Hom. Od. ι, 326.

30) ξηρανθ. καὶ) Pro ξηρανθὲν a Seb. restitutum nostri comprobant.

αὐτοῦ περὶ ἑσπέραν, καὶ εἰσελάσαντος εἰς τὸ σπήλαιον πάντα τὰ ποίμνια, καὶ πάλιν δύο τούτων Φαγόντος, κιρνῶσιν αὐτῷ οἶνον, καὶ μεθύσαντες τυφλοῦσιν αὐτὸν, τοῦ δὲ βοῶντος, προσῆλθον πάντες οἱ Κύκλωπες. Ἀκουσαντες δὲ αὐτοῦ βοῶντος, Οὖτις μὲ ἐτύφλωσε, μεμηνέναι δοκήσαν[illegible]ς αὐτὸν, ἀπεχώρησαν [31]).

[illegible]Ο δὲ τῇ πρωΐᾳ τὰ ποίμνια ἐκβάλλει, περὶ τὴν θύραν τοῦ σπηλαίου [32]) καθεσθεὶς, ὅπως ὕστερον κλείσας τὸ [illegible]ήλαιον, καὶ ἔνδον αὐτοὺς εὑρὼν [33]), ἀνέλῃ. Οἱ δὲ π[illegible]ελθόντες [34]) ὑποκάτω τῶν προβάτων, καὶ αὐτῶν πο[illegible]ὰ ἐμβαλόντες τῷ πλοίῳ, ἀπέπλεον. Βοησάντων δὲ αὐτῶν ὁ Κύκλωψ ἀκηκοὼς, λίθον λαβὼν [35]), εἰς τὴν θάλασσαν ἔῤῥιψεν· ἔστρεψε δὲ ὑπὸ τοῦ κλύδωνος αὐτῶν τὴν ναῦν εἰς τὴν γῆν. Ὡς δὲ καὶ πάλιν ἀποπλέοντες ἐβόων, ἠρᾶτο τῷ Ποσειδῶνι, μὴ ἀπελθεῖν αὐτοὺς εἰς τὰς πατρίδας· καὶ πάλιν ὁμοίως λίθον βαλὼν, ἤνεγκεν αὐτοὺς εἰς τὴν γῆν. Εἶτα λοιπὸν ἀποπλεύσαντες, ἦλθον εἰς τὴν μικρὰν νῆσον, ὅπου καὶ αἱ λοιπαὶ νῆες αὐτῶν. Εὗρον δὲ τοὺς ἑταίρους δακρύοντας [36]). Καὶ τότε μὲν [37]) εὐωχηθέντες, κοιμῶνται· τῇ ἐπαύριον δὲ κώπαις πλέοντες, ἦλθον εἰς Αἰολίαν [38]), καὶ διατρίψαντες ἐκεῖ μῆνα, λαβόντος Ὀδυσσέως παρ' Αἰόλου τὸν τῶν ἀνέμων ἀσκὸν, ἀπέπλεον, Ζεφύρου θ' νύκτας καὶ ἡμέρας πνέοντος [39]).

31) ἀπεχώρ.) Nostri cum vulg. ὑπεχώρ. Hom. l. l. v. 413. ἀπιόντες, quod respondet ἀπεχώρ.

32) τοῦ σπηλ.) Vitt. 2 et 3. τοῦ ποιμνίου.

33) εὑρὼν) Deest in Vit. 3.

34) προδιελθόντες) Nostri bene pro προεξελθόντες.

35) λίθον λαβὼν — ἔῤῥιψεν) Pro λίθον βαλ. εἰς τὴν θάλ. a Seb. emendatum Vitt. 2 et 3. firmant. Hom. l. l. 481.

36) δακρύοντ.) A nostris abest, non bene, nam Hom. l. l. v. 545. ὀδυρόμενοι.

37) καὶ τότε μὲν) Nostri καὶ τότε λοιπόν.

38) Αἰολίαν) vt Hom. Odyss. κ. v. 1. Vit. 2. αἰόλον: Vit. 3. αἰόλους.

39) ζεφύρ. — πνέοντ.) Hom. Od. κ. v. 28.

Ἐννῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ.

Vit. 2. ζεφύρῳ θ' νύκτας καὶ ἡμέρας πνέοντι: Vit. 3. eadem,

Τῇ δεκάτῃ δὲ τὴν Ἰθάκην, καὶ ἀνθρώπους, καὶ πῦρ, καὶ καπνὸν ἔβλεπον. Κεκμηκότος δὲ Ὀδυσσέως, καὶ καθευδήσαντος, λύουσι τὸν ἀσκὸν, νομήσαντες χρήματα ἔχειν; καὶ ἐκχυθέντων τῶν ἀνέμων, ἀναρπάξας αὐτοὺς ὁ κλύδων, πάλιν στρέφει πρὸς Αἰολίαν 40). Αἴολος δὲ αὐτοὺς καίπερ 41) ἱκετεύοντας ἀποπέμπει, ὡς Θεοῖς ἐχθρούς. Οἱ δὲ εἰρεσίᾳ 42) ἓξ ἤματα πλέοντες τῇ 43) ἑβδόμῃ παρὰ 44) Λαιστρυγονίαν ἦλθον. Κατελθόντες δὲ οἱ Λαιστρυγόνες, κατέαξαν τὰς ιά ναῦς 45) αὐτῶν πέτραις σὺν τοῖς λαοῖς πᾶσι. Μόνος δὲ ὁ Ὀδυσσεὺς, ἀποκόψας τῆς ἑαυτοῦ νηὸς τὰ πρυμνήσια, ἔφυγε. Κώπαις δὲ πλέοντες, ἦλθον 46) εἰς τὴν Αἰαίην, νῆσον τῆς Κίρκης, ἥτις ἐθηριοποίει 47 τοὺς ἀνθρώπους. Καὶ ἐν ταύτῃ δύο ἡμέρας ὅλας 48) ἐπὶ γῆς ἔκειντο θρηνοῦντες. Τῇ δε τρίτῃ ἡμέρᾳ διαιρεθέντες εἰς δύο μέρη, ἔστησαν ἐν μὲν τῷ μέρει 49) ἑνὶ Ὀδυσσεὺς καὶ εἰκοσιδύο ἑταῖροι· ἐν δὲ τῷ ἑτέρῳ Εὐρύλοχος 50) καὶ ἄλλοι τόσοι 51) ἑταῖροι· καὶ κληρωθέντες, ἔπεσεν ὁ κλῆρος ἐπὶ Εὐρύλοχον, ὥστε ἀνελθεῖν σὺν τοῖς 52) μετ᾽ αὐτοῦ ἐπὶ τὴν Κίρκην.

ſed pro πνέοντι habet πλέοντες, quae lectio optime conuenit Homero. Totus locus mihi ita conſtituendus videtur: ἐν (quod iam edd. ante Pott.) ζεφύρῳ θ νύκτας καὶ ἡμέρας πνέοντι l. πλέοντες, ſaltem ope Vitt. 2 et 3. ponendum νύκτας καὶ ἡμέρας.

40) αἰολίαν) Vit. 2. αἴολον.

41) καίπερ) Abeſt a noſtris.

42) εἰρεσ.) Vit. 2. ἐρεσσίᾳ.

43) τῇ) Noſtri bene addunt.

44) παρὰ) Noſtri περὶ.

45) ναῦς) Vit. 2. νῆας.

46) ἦλθον) Vit. 2. ἦλθεν, et tamen πλέοντες.

47) ἐθηριοπ.) Vit. 3. ἐθηροποίει: infra recte ἐθηριοπ.

48) ἡμ. ὅλας) Vitt. 2 et 3. ἡμέραις ὅλαις, et mox ἐπὶ τῆς γῆς pro ἐπὶ γῆς, ſed ἐν ταύτῃ a Seb. additum non addunt.

49) μέρει) Noſtri bene adiiciunt.

50) Εὐρύλ. — ἑταῖροι) Vitt. 2 et 3. Εὐρύλοχον καὶ — ἑταίρους, atque ſic antea Ὀδυσσέα καὶ ἑτέρους pro Ὀδυσσεὺς καὶ ἕτεροι.

51) τόσοι) Noſtri iterum κβ, vt in vulg.

52) σὺν τοῖς) Pro τοὺς noſtri cum Sebaſt.

Ἀνελθὼν δὲ σὺν ἐκείνοις, εἶδεν [53]) ἔξωθεν τῆς αὐλῆς τῆς Κίρκης λύκους καὶ λέοντας ἡμέρους, σαίνοντας αὐτοὺς [54]) ταῖς οὐραῖς. Εἰσελθόντων δὲ τῶν φίλων, αὐτὸς ἔξω ὑπελείφθη. Κἀκείνους μὲν ἡ Κίρκη χοίρους ποιεῖ, δοῦσα αὐτοῖς πιεῖν [55]) οἶνον μεμιγμένον τυρῷ, ἀλφίτοις, καὶ μέλιτι. Εὐρύλοχος δὲ ἦλθε πρὸς Ὀδυσσέα καὶ τοὺς λοιποὺς, ἀφωνίᾳ μὲν συνεχόμενος, ἐξ ὀφθαλμῶν δὲ ἀστακτὶ δάκρυσι καταῤῥεόμενος [56]). Μόλις δέ ποτε [57]) εἰς ἑαυτὸν γεγονὼς, τὸ πᾶν ἀφηγεῖται· καὶ ὁ [58]) Ὀδυσσεὺς αἰτεῖ αὐτὸν τὴν ὁδὸν ὑποδεῖξαι [59]). Ὡς δ' οὐκ ἐπείθετο, μόνος ὁ Ὀδυσσεὺς τῆς πορείας ἀπάρχεται. Ἑρμῆς δὲ αὐτῷ συναντήσας, τὰ τῆς Κίρκης παντα κατέλεξε, καὶ δίδωσιν αὐτῷ τὸ μῶλυ, ὅπερ ἐστὶ βοτάνη ἀντιπαθοῦσα μαγείαις. Καὶ οὕτω πρὸς Κίρκην [60]) ἐλθὼν, οὐ μόνον οὐκ ἐθηριοποιήθη, ἀλλὰ καὶ τὸ ξίφος ἐπ' αὐτὴν ἑλκύσας, ἔπεισε καὶ τοὺς φίλους αὐτοῦ πάλιν ἐκ χοίρων ἀνθρώπους ποιῆσαι. Κατελθὼν δὲ ὁ Ὀδυσσεὺς, ἀνήγαγε καὶ τοὺς ἑτέρους φίλους αὐτοῦ, τοὺς μετ' Εὐρυλόχου, καὶ χρόνον παρὰ τῇ Κίρκῃ [61]) διέτριψαν, συγκαθεύδοντος Ὀδυσσέως [62]) τῇ Κίρκῃ.

Μετὰ δὲ τὸ μέλλειν αὐτοὺς ἀποπλεῖν, εἶπεν αὐτοῖς, μὴ ἄλλως εἶναι αὐτοῖς εἱμαρμένον ἀποπλεῖν [63]), εἰ μὴ κατέλθωσιν εἰς [64]) Ἀΐδην καὶ χρήσωνται μαντείαις ἐκ τῆς

53) εἶδεν) Nostri bene pro εἶδον.

54) αὐτοὺς) Vit. 3. αὐτῶν: referas ad οὐραῖς: non apte.

55) πιεῖν) Ignorant Vitt. 2 et 3.

56) δάκρ. καταῤῥεόμ.) Nostri, vt edd. pr. δάκρυα καταῤῥέων. Hom. Odyss. κ. 247. ἐν δέ οἱ ὄσσε Δακρυόφιν πίμπλαντο.

57) ποτε) Non agnoscit Vit. 3.

58) ὁ) Nostri addunt.

59) ὑποδ.) Vit. 2. ἀποδ.

60) πρὸς κίρκ.) Nostri πρὸς τὴν κ.

61) παρ. τῇ κίρκ.) Vitt. 2 et 3. περὶ τὴν κίρκην.

62) ὀδυσσ.) Nostri praemittunt art. τοῦ.

63) ἀποπλ.) Vit. 3. ἀπελθεῖν.

64) εἰς) Pro πρὸς Vit. 2. cum Hom. Od. κ, 491.

τοῦ [65]) Τειρεσίου ψυχῆς. Καὶ δὴ [66]) δι' ὅλης ἡμέρας πλέοντες, κατῆλθον διὰ τοῦ Ἑσπερίου καὶ Κιμμερίου Ὠκεανοῦ, καὶ πυγούσιον βόθρον ὀρύξαντες, καὶ σφάξαντες κριὸν καὶ ὄϊν θήλειαν, ἐξέχεαν εἰς τὸν βόθρον τὸ αἷμα, καὶ ἔθυσαν χοὴν τοῖς νεκροῖς [67]), καὶ ἦλθον αἱ ψυχαὶ πιεῖν αἷμα. Ὁ δὲ Ὀδυσσεὺς κατέχων ξίφος, οὐκ εἴα πίνειν, πρὶν αὐτῷ καταλέξειαν, ἅπερ βούλοιτο [68]). Καὶ πρώτη μὲν ἡ Ἐλπήνορος ἦλθε ψυχὴ, ὃς ἐν τῇ τῆς Κίρκης οἰκίᾳ ἔτι ἄθαπτος ἔκειτο· δευτέρα δὲ ἡ Ἀντικλείας, τῆς μητρὸς [69]) Ὀδυσσέως· εἶτα ἡ Τειρεσίου [70]), ἣ [71]) πάντα τὰ μέλλοντα αὐτὸν καταλήψεσθαι ἐμαντεύσατο· μετὰ ταῦτα πάντες [72]) οἱ ἥρωες ἦλθον, καὶ αἱ τῶν ἡρώων γυναῖκες, λέγουσαι αὐτῷ ἡ μία [73]) ἑκάστη, τίς εἴη, καὶ ὅσα ἐπεπόνθει [74]). Εἶτα φοβηθέντες, μὴ καὶ ἡ Γοργὼ ἐξέλθῃ, ἐμβάντες πάλιν εἰς τὴν αὐτῶν [75]) ναῦν, ὡς πρὸς τὴν Κίρκης νῆσον, πρὸς αὐγὰς [76]) κειμένην, ἀπέπλευσαν. Καὶ θάψαντες τὸν Ἐλπήνορα, καὶ παρὰ τῆς Κίρκης [77]) τὰ χρειώδη λαβόντες, καὶ τοῦ Ὀδυσσέως μαθόντος παρ' αὐτῆς, ὅσα καὶ παρὰ τοῦ Τειρεσίου, τὰς

65) *τῆς τοῦ*) Pro *τῆς* bene Vitt. 2 et 3.

66) *δὴ*) Abeſt a noſtris.

67) *τοῖς νεκροῖς*) vt Hom. Od. κ, 518, et λ, 26, *νεκύεσσι.* Vitt. 2 et 3. *τοῖς θεοῖς.*

68) *βούλοιτο*) Vitt. 2 et 3. *ἐβούλοντο*, perperam, nam Hom. Od. λ, 50. *πρὶν Τειρεσίαο πυθέσθαι.*

69) *Ἀντικλείας, τῆς μητρ.*) Noſtri cum Seb. pro *Ἀντίκλεια, ἡ μήτηρ.*

70) *ἡ Τειρεσίου*) Sic quoque Vit. 2. ſed Vit. 3. *Τειρεσία*, vt *τοῦ Ἀννίβα.*

71) *ἣ*) Sic Vit. 2. cum Seb. verum Vit. 3. cum edd. pr. *ὃς.*

72) *ταῦτα πάντες*) Noſtri *ταῦτα πάντα.*

73) *λέγουσαι αὐτῷ — ἑκάστη*) Sic noſtri, bene, pro: *αὐτῶν λέγουσα ἑκάστη ψυχή.*

74) *ἐπεπόνθει*) Pro *πέπονθε* noſtri cum Seb.

75) *εἰς — αὐτῶν*) Vitt. 2 et 3. *εἰς τὴν ἰδίαν.*

76) *αὐγὰς*) Noſtri *αὐγήν.*

77) *καὶ παρ. τῆς κίρκ.*) Sic noſtri: omittunt quoque hic *ἀποπλέουσι*, et poſt *ἁπλῶς* melius ponunt *ἔπλεον.*

Σειρῆνας, τὰς Πλαγκτὰς, τὴν Σκύλλαν, τὴν Χάρυβδιν, τὰς βόας Ἡλίου, καὶ πάντα ἁπλῶς, ἔπλεον. Κηρῷ γοῦν Ὀδυσσεὺς ἀλείψας 78) τὰ ὦτα τῶν ἑταίρων, παρέπλει, αὐτὸς ἐπὶ τοῦ ἱστοῦ ἐκκρεμὴς ὢν, καὶ ἀκάλυπτα 79) ἔχων τὰ ὦτα. Παρελάσαντες γοῦν τὸν λιμένα τῶν Σειρήνων, καὶ τὰ μέλη ἐκείνων, ὑφ᾽ ὧν θελγόμενοι ἀπέθνησκον οἱ ἀκούοντες, λύουσι τὸν Ὀδυσσέα τοῦ ἱστοῦ. Εἶτα παραπλεύσαντες τὰς Πλαγκτὰς πέτρας, αἳ πρὸς ἀλλήλας συνεκρότουν, καὶ φοβερὸν ἀπετέλουν τὸν κτύπον, (αὗται δὲ καὶ Κυάνεαι λέγονται, κεῖνται δὲ μεταξὺ Κιλικίας καὶ Παμφυλίας, καθ᾽ Ὅμηρον 80) καί τινας ἑτέρους) ἦλθον διὰ Χαρύβδεως, καὶ Σκύλλας 81) πλησίον μᾶλλον. Ἀφαρπαγέντων δὲ παρὰ τῆς Σκύλλης ἐκ τῶν 82) τῆς νεὼς ἀνδρῶν ϛ', οἱ λοιποὶ συντονώτερον 83) τῇ εἰρεσίᾳ χρησάμενοι, ἔφευγον 84).

Περὶ δὲ νύκτα τῇ τοῦ Ἡλίου νήσῳ Θρινακίᾳ προσπελάζουσι, καὶ Ὀδυσσεὺς παραπλεῖν αὐτὴν 85) ἐκέλευεν. Οἱ δὲ μὴ πεισθέντες, ἐξῆλθον καὶ πρῶτον 86) μὲν θηρεύσει καὶ ἀγκιστρείᾳ διέζων· ὡς δὲ νότος ἔπνει πρὸς μῆνα ὅλον, ἀνελθόντος τοῦ Ὀδυσσέως εἰς τὸ ἐνδότερον 87) τῆς νήσου εὔξασθαι, κατακοιμηθέντος, σφάττουσιν οἱ μετ᾽ Εὐρυλόχου βόας Ἡλίου 88) θ', καὶ ἐσθίουσιν ἐπὶ ἓξ ὅλαις ἡμέραις. Τῇ ζ' δὲ παυσαμένου τοῦ δεινοῦ ἀνέμου, ἐμβάντες, ὥστε πλεῖν, Ζεφύρῳ πρῶτον μεγάλῳ συν-

78) ἀλείψας) Vit. 3. βύσας. Hom. Od. μ, 47. ἀλεῖψαι, et 177. ἄλειψα.

79) ἀκάλ.) Vit. 3. mendoſe ἀκατάληπτα.

80) ὅμηρ.) Odyſſ. μ, 61, et ψ, 337.

81) σκύλλας) Noſtri σκύλλης.

82) ἐκ τῶν) Noſtri bene addunt τῶν.

83) συντον.) Noſtri συντονωτέρως.

84) ἔφευγ.) Vit. 3. ἔφυγον.

85) αὐτὴν) Noſtri αὐτοὺς, forte melius ob ſeq. οἱ δὲ μὴ πεισθ.

86) πρῶτον) Vitt. 2 et 3. hic et poſtea πρῶτα.

87) ἐνδότ.) Vit. 3. perperam ἐνδοτικόν.

88) ἡλίου) Noſtri cum Seb. addunt, omiſſo tamen θ'.

θραύονται, εἶτα κεραυνοῦνται. Ὀδυσσεὺς δὲ μόνος 89) τὴν τρόπιν κατέχων, ὁλονυκτίως ἐφέρετο. Ἀνατέλλοντος δὲ τοῦ 90) ἡλίου, μόνος 91) φερόμενος, ἦλθεν ἐπὶ τὴν Χάρυβδιν, καὶ δραξάμενος τῆς περὶ τοὺς τόπους ἐκείνους ἑστώσης συκῆς, ἀπεκρέματο περὶ αὐτὴν, τὰ δὲ ξύλα κατέδυ πρὸς τὸν βυθόν. Ὀψὲ δέ ποτε ἀναδυνέντων αὐτῶν 92), καθεὶς ἑαυτὸν ἀπὸ τῆς συκῆς, ἐπελάβετο τῶν ξύλων. Καὶ θ' μὲν οὕτως ἡμέρας 93) ἐνήχετο. Τῇ δεκάτῃ δὲ περὶ τὴν Ὠγυγίαν νῆσον ἦλθε τῆς Καλυψοῦς, καὶ ζ' χρόνους ἐκείνῃ συνδιῆγε. Τῷ δὲ ὀγδόῳ ἀπελύθη μετὰ σχεδίας, Διὸς ὀργισθέντος τῇ Καλυψοῖ. Καὶ οὕτω μετὰ τῆς σχεδίας Ὀδυσσεὺς ιζ' ἡμέρας ἔπλεεν· τῇ δὲ 94) ιη' τὴν Φαιακίαν, ἤτοι τὴν Κέρκυραν, εἶδεν. Ἀνέμων δὲ γενομένων ὀργῇ Ποσειδῶνος, κατεάχθη ἡ σχεδία 95). Δύο δὲ ὅλας ἡμέρας 96) ἐνήχετο· τῇ τρίτῃ δὲ ἡ Λευκοθέα ἐλεήσασα αὐτὸν, δέδωκεν αὐτῷ 97) τὸ κρήδεμνον αὐτῆς, μεθ' οὗ ἐξῆλθεν εἰς τὴν γῆν τῶν Φαιάκων, καὶ καταπεσὼν ἐν ὕλῃ, ἐκάθευδεν.

Τῆς δὲ Ἀλκινόου θυγατρὸς Ναυσικάας μετὰ τῶν θεραπαινίδων αὐτῆς ἐλθούσης πλῦναι καὶ τερφθῆναι παιγνίοις, καὶ σφαιριζουσῶν 98) πρὸς ἀλλήλας βοῆς γενομένης, ἐγείρεται Ὀδυσσεὺς, καὶ ἱκετεύει αὐτήν. Ἡ δὲ τροφὴν καὶ εἵματα 99) δοῦσα, κελεύει τοῦτον ἐλθεῖν

89) μόνος) Vit. 3. μόνον.

90) τοῦ) Nostri praeponunt, bene.

91) μόνος) Pro νότῳ μόνῳ nostri, bene, nam notus iam desierat flare.

92) αὐτῶν) Vitt. 2 et 3. cum Seb. pro αὐτῷ, sed ποτε non habent.

93) ἡμέρας) Nostri pro ἡμέραις.

94) τῇ δὲ ιη') Vitt. 2 et 3. pro ιη' δὲ, bene.

95) κατεάχθη ἡ σχεδ.) Nostri κατεσχέθη, omisso τῷ· ἡ σχεδία.

96) ὅλας ἡμέρ.) Pro ὅλαις ἡμέραις Vitt. 2 et 3.

97) αὐτῷ) A Seb. suppletum nostri ignorant.

98) σφαιριζ.) Vitt. 2 et 3. σφετεριζουσῶν, perperam, nam Hom. Od. ζ, v. 100. σφαίρῃ ἔπαιζον.

99) εἵματα) Vit. 3. εἷμα.

πρὸς τὸν οἶκον τοῦ πατρὸς αὐτῆς, καὶ τὴν αὐτῆς ἱκετεῦσαι μητέρα Ἀρήτην, ὡς ἂν τύχοι [100]) οὗπερ καὶ βούλοιτο. Ἐκεῖσε δ' ἐλθὼν, ἐρωτᾶται [101]) παρὰ Ἀλκινόου καὶ τῆς Ἀρήτης, καὶ τὴν πᾶσαν, ἥν ἔφημεν, διηγεῖται ὑπόθεσιν, καὶ δῶρα παρ' αὐτῶν μυρία λαβὼν, εἰς τὴν Ἰθάκην πέμπεται, ἑσπέρᾳ μὲν ἐπιβὰς τῆς νεὼς ἐκ τῆς Φαιακίας· περὶ δὲ ἑωσφόρον πεφθακὼς [102]) ἐκεῖσε, καὶ εἰσελθὼν ὡς πένης περὶ τὸν Εὔμαιον τὸν συβώτην, ἦλθε καὶ πρὸς τοὺς μνηστῆρας, καὶ πολλὰ παρὰ πολλῶν παρoινηθεὶς, γνωρίζει ἑαυτὸν τοῖς οἰκέταις, καὶ σὺν αὐτοῖς ἀνελὼν τοὺς μνηστῆρας, ἀναγνωρίζεται καὶ [103]) τῇ ἑαυτοῦ γυναικὶ, καὶ συγκαθευδήσας αὐτῇ, πάντα κατὰ λεπτὸν διηγήσατο. Τῇ ἐπαύριον δὲ πρωΐᾳ ἔξεισι πρὸς τὸν ἀγρόν. Οἱ δὲ τῶν μνηστήρων συγγενεῖς μαθόντες τὸ γεγονὸς, πρῶτα μὲν εἰς τὴν Ὀδυσσέως οἰκίαν ἐλθόντες, θάπτουσι τοὺς νεκρούς· ἔπειτα δὲ ὁπλισθέντες, ἐξέρχονται καὶ αὐτοὶ πρὸς τὸν ἀγρὸν, Ὀδυσσεῖ πολεμήσοντες [104]). Ἀθηνᾶς δὲ βουλῇ φιλιωθέντες [105]), τὸ νεῖκος καταπαύουσιν. Ὀδυσσεὺς δὲ εἰς Εὐρυτᾶνας, ἔθνος Ἠπείρου, κατὰ χρησμὸν ἐλθὼν, θύει τὰ νενομισμένα· καὶ γηραιὸς ἄγαν ὑποστραφεὶς, κτείνεται παρὰ Τηλεγόνου, τοῦ ἐκ Κίρκης αὐτῷ γεννηθέντος υἱοῦ. Καὶ τὰ μὲν κατὰ τὸν Ὀδυσσέα οὕτως ἔχει [106]).

820 — 21. Ὁ δ' αἰνόλεκτρον] Ὁ δὲ Μενέλαος, ὁ συνέτης καὶ ἀνὴρ [1]), ματεύων [2]) καὶ ψηλαφῶν τὴν

100) τύχοι) Nostri τύχῃ.

101) ἐκεῖσε — ἐρωτᾶτ.) Vitt. 2 et 3. perperam ἐκεῖνος — ἐρωτηματικῶς, et hinc περὶ pro παρά.

102) πεφθ. ἐκεῖσε) Nostri ἐφθακὼς ἐκεῖ, quae forma vsitatior est.

103) καὶ) Nostri inserunt, bene.

104) πολεμήσ.) Vit. 3. πολεμοῦντες, at in ora πολεμήσοντες.

105) φιλιωθέντες) Nostri, vt edd. pr. φιλιοῦνται καί.

106) καὶ τὰ — ἔχει) Vitt. 2 et 3. καὶ ταῦτα — ἔχουσιν.

1) ὁ συνέτ. — ἀνὴρ) Desunt in Vit. 1. et Ciz.

2) ματεύων) Vit. 3. μαστεύων: sed seqq. καὶ ψηλαφ.

ἁρπαγεῖσαν αἰνόλεκτρον πλάτιν καὶ γυναῖκα, παρὰ τὸ πελάζειν καὶ μίγνυσθαι. Λέγει δὲ τὴν Ἑλένην. Ματεύων [3]) δὲ αὐτὴν πῶς; ἀπὸ κληδόνων καὶ φημῶν πεπυσμένος καὶ μαθών· ποθῶν δὲ τὸ φάσμα τὸ πτηνὸν, τὸ φυγὸν [4]) εἰς αἶθραν καὶ εἰς τὸν αἰθέρα, ποίους θαλάσσης οὐκ ἐρευνήσει μυχούς;

Ὁ Λυκόφρων [5]) ἀκολουθῶν Ἡροδότῳ [6]), τὴν Ἑλένην φησὶ μὴ ἐλθεῖν εἰς Τροιαν, ἀλλ' ἁρπαγεῖσαν ὑπὸ Ἀλεξάνδρου, ἀπελθεῖν μετ' αὐτοῦ εἰς Αἴγυπτον, ἔνθα Πρωτεὺς ἀφείλετο αὐτὴν ὑπ' Ἀλεξάνδρου. Πορθηθείσης δὲ τῆς Τροίας, καὶ μὴ εὑρεθείτης τῆς Ἑλένης ἐκεῖσε, τότε ὁ Μενέλαος ἐλθὼν πρὸς τὸν Πρωτέα, ἔλαβε τὴν γυναῖκα αὐτοῦ.

Ἁρπαγεῖσαν [7])] Γινώσκεις, ὅτι ἡρπάγη ὑπὸ Θησέως καὶ Ἀλεξάνδρου.

822 — 24. Ποθῶν δὲ φάσμα πτηνὸν [8])] Τινές φασιν [9]), ἐνταῦθα περὶ τοῦ εἰδώλου λέγειν τῆς Ἑλένης, τοῦ δοθέντος παρὰ τοῦ Πρωτέως τῷ Ἀλεξάνδρῳ ἀνθ' Ἑλένης αὐτῆς [10]). Ἐγὼ δέ φημι, οὐ καλῶς αὐτοὺς [11]) λέγειν· οὐ γὰρ τὸ εἴδωλον, τὸ παρὰ Πρωτέως τῷ Ἀλεξάνδρῳ δοθὲν, πέφευγεν εἰς τὸν αἰθέρα· ἀλλὰ

— ἁρπαγεῖσ. absunt a Vit. 1. et Ciz.

3) ματεύων usque ad αἰθέρα in Vit. 1. et Ciz. desunt. Eadem fere repetuntur ad v. 822. Vitt. 2 et 3. ματ. καὶ αὐτὸς pro ματ. δὲ αὐτήν.

4) φυγὸν) Vitt. 2 et 3. φανέν.

5) ὁ λυκόφρων — γυναῖκα αὐτοῦ) Abſunt a noſtris.

6) Ἡροδότ.) II, 115 ſqq.

7) ἀπαργεῖσαν —) Vitt. 2 et 3. cum Seb. exhibent: Vit. 3. vero ἀνηρπάγη pro ἡρπάγη.

8) πτηνὸν) Codd. noſtri addunt, bene.

9) φασιν — λέγειν) Pro his duobus verbis Vit. 1. et Ciz λέγουσι. Vitt. 2 et 3. modo φασίν.

10) τῷ Ἀλ. — αὐτῆς) Omittunt Vit. 1 et Ciz.

11) καλῶς αὐτοὺς) Vit. 1. et Ciz. περὶ ἐκείνου, omiſſis quoque ſeqq. οὐ γὰρ — αἰθέρα, haud dubie poſtea inſerta.

περὶ τούτου φησὶ [12]) τοῦ συμβάντος ὕστερον τῇ Ἑλένῃ, ὡς Εὐριπίδης ἐν Ὀρέστῃ [13]) διδάσκει. Κρατηθεῖσαν [14]) γὰρ ὑπὸ Πυλάδου καὶ Ὀρέστου, τοῦ Ἀγαμέμνονος, καὶ μέλλουσαν σφαγιασθῆναι, διὰ τὸ μὴ βοηθῆσαι αὐτῷ τὸν Μενέλαον ἐπὶ τῇ αὐτοῦ ἀτυχίᾳ, ἁρπάξας αὐτὴν Ἀπόλλων ἀνάγει τῷ Διῒ [15]), καὶ φαίνεται Μενελάῳ καὶ Ὀρέστῃ [16]), εἰδωλικῶς [17]) δεικνύων αὐτήν. Ἡ δὲ ἔννοια τοιαύτη [18])· Ὁ δὲ Μενέλαος, ὁ τόδε [19]) καὶ τόδε ποιῶν, ποθῶν δὲ, δηλονότι ὕστερον, τὸ εἴδωλον τῆς Ἑλένης, τὸ ἀναχθὲν εἰς τὸν οὐρανὸν [20]) ὑπὸ τοῦ [21]) Ἀπόλλωνος, ποίους θαλάσσης οὐκ ἐρευνήσει μυχούς; Καὶ ἐν τούτῳ δὲ ὁ Λυκόφρων [22]) ἀσάφειαν ἐργάζεται, τὰ ὕστερα τοῖς πρώτοις μιγνὺς, καὶ τὰ πρῶτα τοῖς ὑστέροις.

825. Ἐπόψεται μὲν πρῶτα] Θεάσεται πρῶτον [1]) τὰ Ἄριμα [2]), ὄρη τῆς Κιλικίας, ὅπου Πίνδαρος [3])

12) ἀλλὰ περὶ τούτου φησὶ) Vitt. 2 et 3. bene pro ἀλλ. περ. τοῦ. Vit. 1. et Ciz. φησὶ non habent, nam haec referunt ad ſuperius φημί.

13) Ὀρέστῃ) v. 1629 ſqq. *Vid. etiam Ael. Ariſtidem in orat. Panathenaica.* Sebaſt.

14) κρατηθεῖσαν — σφαγιασθῆναι) Noſtri Codd. ſic: μέλλουσαν γὰρ σφαγ. ὑπὸ Πυλ. καὶ Ὀρ. reliquis ſublatis cum ſqq. διὰ τὸ — ἀτυχίᾳ.

15) τῷ Διῒ) Vitt. 1. 3. et Ciz. παρὰ τ. Δ. Vit. 2. περὶ, quod a Seb. deletum eſt. παρὰ ferri poteſt.

16) Μενελ. — Ὀρέστ.) Vitt. 2 et 3. καὶ Μενέλαος, καὶ Ὀρέστης.

17) εἰδωλικῶς) Lectio vnice vera, nam vulg. εἰδωλοδῶς nullius eſt auctoritatis.

18) τοιαύτη) Vit. 1. et Ciz. bene pro οὕτως.

19) ὁ τόδε) Sic noſtri pro τόδε.

20) εἰς τὸν οὐρ.) Vit. 1. et Ciz. εἰς τοὺς οὐρανούς.

21) ὑπὸ τοῦ) Noſtri, vt edd. pr. ὑπ'.

22) ὁ Λυκόφρ.) Abeſt a Vit. 1. et Ciz.

1) πρῶτον) Vitt. 2 et 3. non dant.

2) τὰ Ἄριμα — Κιλικίας) Vitt. 2 et 3. mendoſe τὰ ἄριστα ὄρη τῆς Σικελίας, quam quidem lectionem hiſtoria fabularis, non vero contextus cum verſſ. Homeri tueri poteſt, cf. Apollod. I, 6, et infra ad v. 1354.

3) πίνδαρ.) Pyth. I, 32, cf. ibi ſchol. coll. Olymp. IV, 10.

καὶ Ὅμηρός [4]) φασιν εἶναι τὸν Τυφῶνα. Ὅμηρος δὲ οὕτω φησί·

Γαῖα δ' ὑπεστονάχιζε, Διῒ ὡς τερπικεραύνῳ
Χωομένῳ, ὅτε τ' ἀμφὶ Τυφωέϊ γαῖαν ἱμάσσῃ
Εἰν Ἀρίμοις [5]), ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς.

826. Καὶ πέμπελον γραῦν] Καὶ τὴν πάγγηρων γραῦν, τὴν ἀπολιθωθεῖσαν [6]). Ἀπὸ δὲ μέρους καὶ τοῦ περιεχομένου [7]) τὴν Κύπρον ἐσήμανε· φέρεται [8]) γὰρ ἱστορία, ὅτι Ἀφροδίτη ὀργισθεῖσα τοῖς Θεοῖς (τινές φασι διὰ τὸ συλλαβεῖν τὸν Ἥφαιστον Ἄρει συνευναζομένην [9])), ὑπεχώρησε περὶ τὴν Κύπρον, κἀκεῖ διέτριβε περὶ τὸ Καυκάσιον ὄρος [10]). Οἱ δὲ Θεοὶ ἐρευνῶντες [11]) ἐκεῖσε εὗρον αὐτὴν, γραὸς ὑποδειξάσης τὸν τόπον [12]), ἔνθα ἦν κεκρυμμένη, ἐρωτηθείσης παρὰ τῶν Θεῶν, εἰ οἶδε, ποῦ ἐστὶν Ἀφροδίτη. Ἣν ἡ Ἀφροδίτη ὀργισθεῖσα ἐμαρμάρωσε, καὶ μέχρι τοῦ νῦν ἵσταται ἡ στήλη αὐτῆς ἐκεῖσε.

827. Καὶ τὰς Ἐρεμβῶν] Ἑλλανικός [1]) φησι, τοὺς Ἐρεμβοὺς περὶ τὰς τοῦ Νείλου ῥοὰς οἰκεῖν. Γένος

4) ὅμηρός (Il. β, 781 sqq.) φασιν — εὐνάς) Absunt a Vit. 1. et Ciz. In Vitt. 2 et 3. extant quidem, sed, vt edd. ante Seb. vnum tantum Homeri vers. quem qaoque laudat schol. Pindari l. l. exhibent: reliqui temere a Seb. adpositi.

5) εἰν Ἀρίμοις) Vit. 3. vitiose εἰν ἀρίθμοις.

6) καὶ τὴν — ἀπολιθ.) Vit. 1. et Ciz. καὶ τὴν γραῦν τὴν πέμπελον, τὴν γραῦν ἀπολιθ.

7) καὶ — περιεχ.) Vitt. 2 et 3. τὸ περιεχόμενον, non male.

8) φέρεται) Inepte Ciz. φαίνεται.

9) τινές — συνευναζ.) Desunt in Vitt. 1. 5. et Ciz.

10) περὶ — ὄρος) Nostri non agnoscunt.

11) ἐρευνῶντ.) Nostri adpos. αὐτὴν delent, recte, nam mox iterum ponitur.

12) τὸν τόπον — Ἀφροδ.) Nostri modo αὐτὴν, reliquis demtis.

1) Ἑλλαἰκ.) P. 108. ed. Sturz. *Quum duo fuissent Hellanici nomine scriptores, et quidem ambo antiqui historici;*

δὲ Ἀράβων εἰσὶν οἱ Ἐρεμβοὶ, οἱ καὶ Τρωγλοδύται καὶ Ἰχθυοφάγοι καλούμενοι, ὧν τὸν βίον πλατέως ὁ Διόδωρος γράφει [2]). Ἐρεμβοὶ δὲ λέγονται, ὅτι εν τῇ ἔρᾳ, ἤτοι τῇ γῇ, βαίνουσιν· ὑπὸ γὰρ τὴν γῆν καὶ τρώγλας οἰκοῦσι.

829 — 30. Μύῤῥας ἐρυμνὸν ἄστυ] Τὴν Βύβλον[3]) λέγει, ἥτις ἐστὶ πόλις τῆς Φοινίκης. Μύῤῥα [4]) δὲ Θείαντος θυγάτηρ ἐγένετο. Αὕτη ἐρασθεῖσα τοῦ πατρὸς, καὶ λάθρα μιγεῖσα αὐτῷ, καὶ ἔγκυος γενομένη, αἰσθομένου τοῦτο τοῦ πατρὸς, ηὔξατο τοῖς Θεοῖς, εἰς ἑτέραν φύσιν μεταλλαγῆναι, ἤγουν [5]) μήτε μετὰ ζώντων εἶναι, μήτε μετὰ τεθνεώτων· ὅθεν και [6]) εἰς δένδρον αὐτὴν μετέβαλον [7]), τὸ απ' αὐτῆς λεγόμενον μύῤῥαν,

Mitylenaeus, et Milesius: certo definire non possumus, vtrum nunc Tzetzes sibi velit. At enim, quamuis ex Suida constet, Milesii esse τὴν περιήγησιν, tamen illum potius in Aegyptiacis, cuius operis Athen. II, 6, *et* XV, 7. *Arrianus L.* 2. *dissert. Epicteti, ex eoque Gell. N. A.* I, 2. *meminerunt, illum, inquam, hic designari arbitramur.* Sebast.

2) ὧν — γράφει) Desunt in Vit. 1. et Ciz. cf. Diod. Sic. III, 15, p. 184. ed. Amstel. Vit. 2. ἰσιόδωρος: Vit. 3. ὀδιόδωρος, corrupte. Vide de Erembis Etymol. M. Steph. Byz. Pseudodidym. ad Hom. Odyss. δ, 83. ibique Eustath. idemque ad Dionys. Perieg. v. 180.

3) βύβλον) Sic pro βίβλον, etsi inuitis Codd. Mss. cf. Steph. Byz. ad h. v. Dionys. Perieg. 912. Strab. XVI, p. 755, et Lucian. de Syr. Dea c. 6.

4) Μύῤῥα) *Vid. omnino schol. Theocrit.* α, *v.* 109, *vbi eadem fere, aliis tamen verbis. Ibi quoque male* Μοῖρα *pro* Μύῤῥα. Thryllit. Add. Ouid. Metam. X, 298 sqq. Apollod III, 14, 4. Hygin. fab. 58, et Anton. Liberal. c. 34. ibique interptt. inpr. p. 232. Verheyk, qui quoque locum nostrum in notis tractauit.

5) ἤγουν μήτε — τεθνεώτων) Absunt a Vitt. 2 et 3. vti etiam ab Eudocia p. 298. quam hi ad verbum sequuntur.

6) ὅθεν καὶ) Sic Vit. 3. cum Eudocia: Vit. 2. et Seb. καὶ ignorant.

7) μετέβαλον) Vit. 3. et Eudoc. μετέβαλλον.

ἤτοι σμύρναν Αἰολικῶς, ὅθεν καὶ τὸ μύρον καλεῖται [8]· μὴ γὰρ ὡς [9]) οἱ μωροὶ, καὶ σὺ τὴν Μύῤῥαν, μυῤῥίνην [10]), ἤτοι μυρσίνην, νοήσῃς. Οὕτω δὲ μεταβληθείσης αὐτῆς εἰς μύῤῥαν, καὶ ἐφεστῶτος τοῦ χρόνου τοῦ τοκετοῦ, διαῤῥαγέντος τοῦ φλοιοῦ ἀπεκύησε τὸν Ἄδωνιν, ὃν ἰδοῦσα ἡ Ἀφροδίτη, ἐφίλησε, καὶ ἀνδρωθέντος [11]), ἐραστὴν ἔσχηκε.

831. Γαύαντος [1])] Ὁ Ἄδωνις Γαύας παρὰ

8) ὅθεν — καλεῖται) Neque Vitt. 2 et 3. neque Eudoc. praebent.

9) ὡς) Eudoc. non agnoſcit, ſed Vitt. 2 et 3. habent.

10) μυῤῥ.) Vitt. 2 et 3. cum Eudoc. μυρίνην, ſimplici ρ.

11) ἀνδρωθέντος) Sic Vitt. 2 et 3. cum Eudoc. recte pro ἀνδρωθέντα. Tenendum vero eſt, Vit. 1. et Ciz. plane hic diſcedere a vulgata, duabus de hac fabula prolatis ſententiis, quibus et alii accedunt, ſine dubio ab Iſaac. Tzetza in prima recenſione, quas deinde Io. Tzetzes, duce Eudocia, certe eodem auctore, in vnam videtur redegiſſe, omniaque in breuius coegiſſe, quibusdam tamen retentis, quae in edit. Iſaac. fratris inuenerit, a Vitt. 2 et 3. et Eudocia omiſſa. Sic autem poſt verba ἔγκυος γενομένη ſe habent: ηὔξατο τῇ Ἀφροδίτῃ, μήτε εἰς ζῶντας εἶναι, μήτε εἰς ἀποθανόντας· ὅθεν μετέβαλεν αὐτὴν εἰς δένδρον, τὸ καλούμενον μυρσίνην. Ἐφεστῶτος δὲ τοῦ χρόνου τοῦ τοκετοῦ, διαῤῥαγέντος τοῦ φλοιοῦ, ἀπεκύησε τὸν Ἄδωνιν, ὃν ἰδοῦσα ἡ Ἀφροδίτη ἐφίλησε, καὶ ἀνδρωθέντος, ἐραστὴν ἔσχηκεν. Οἱ δὲ φασὶν, ὅτι ὁ πατὴρ αὐτῆς ηὔξατο, εἰς ἑτέραν φύσιν μεταβληθῆναι, καὶ μετεβλήθη εἰς δένδρον, τὸ ἀπ' αὐτῆς λεγόμενον μύῤῥαν, ἤτοι σμύρναν, ὅθεν καὶ τὸ μύρον πιστὸν εἰρῆσθαι, καὶ πιθανὸν σμύρναν καὶ σμύρνην. καὶ μὴ νομίσας (lege νομίσῃς, vt in edd. pr.) ὅτι τὴν μύῤῥαν, μυῤῥίνην ἤτοι μυρσίνην. cf. Apollod. III, 14, 4, et Heyne ibi, et in Obſeruatt. p. 325 ſqq. Plutarch. in Parallel. Vol. VII, p. 235. edit. Reisk. et Fulgent. f. 58. a Venere, Anton. Liberal. a Ioue, Ouidius cum aliis a Diis in genere Myrrham mutatam eſſe in arborem commemorant.

1) γαύαντος — τοῦτον γεννῆσαι) Hoc ſchol. a Seb. temere ac ſine vlla Codd. Mſſ. auctoritate, vt modo ordinem verborum contex-

Κυπρίοις καλεῖται. Ἄδωνις [2]) ὁ Κύπριος, κατά τινας, Κινύρου [3]) παῖς ἦν, τοῦ Κυπρίων βασιλέως, καὶ οὐ Θείαντος, ἐξ οὗ ἡ Ἀφροδίτη γεννᾷ Πρίαπον [4]) δυσειδῆ καὶ βαθυαίδοιον. Ἡ γὰρ Ἥρα [5]) ἐγκύου οὔσης αὐτῆς [6]) μεμαγευμένη χειρὶ ἁψαμένη, ἐποίησε τοῦτον γεννῆσαι.

Καὶ τὸν Θεᾷ κλαυσθέντα [7])] Μουσόφθαρτον δὲ εἶπεν, ὅτι αἱ Μοῦσαι τῇ πρὸς Ἀφροδίτην ὀργῇ [8]) φερόμεναι, διότι [9]) πολλὰς αὐτῶν εἰς ἔρωτα κινήσασα [10]), ἐποίησεν [11]) ἀνδράσι μιγῆναι καὶ τεκεῖν (οἷον Καλλιόπην ἐξ

tus ſequeretur, quem ſcholiaſtae aliique interpretes ſaepe non obſeruant, poſtpoſitum in ſedem veterem reuocauimus. Etenim omnia ſic melius ſibi conueniunt, atque ipſa Eudocia p. 24. vnde haec videntur hauſta, eundem ſeruat verborum ordinem, interpoſitis adeo Lycophronis verbis, quod cenſor Anecdott. Villoiſon. in Bibl. Crit. Vol. II, P. III, non animaduertit. Inde tamen, quod Eudocia laudat Lycophronis verba, patere videtur, eam hauſiſſe forte ſua e vett. interpretibus Lycophronis.

2) Ἄδωνις — τοῦτον γεννῆσαι) Abſunt a Vit. 1. et Ciz. ſed Vitt. 2 et 3. cum Eudoc. tuentur.

3) κινύρου) Sic noſtri cum Eudoc. et edd. ante Seb. qui κυνάρου male obtruſit Tzetzae, nam Apollod. III, 14, 3. quoque dat κινύραν. cf. Obſeruu. Heyn. p. 325. et Baſt. in Ep. Crit. ed. lat. p. 49.

4) πρίαπον) Sic etiam Eudoc. verum Vitt. 2 et 3. vitioſe πρίαμον.

5) Ἡ γὰρ Ἥρα) Sic noſtri cum Eudoc. pro καὶ γὰρ Ἥρα.

6) ἐγκύου — αὐτῆς) Sic noſtri cum Eudoc. recte pro: ἔγκυον οὖσαν αὐτήν.

7) καὶ τὸν — κλαυσθέντα) Haec Vitt. 2. 3. et Eudoc. cum Seb. praeponunt, ſed Vit. 1. et Ciz. modo μουσόφθαρτον, quod ſeqq. certe poſtulant, atque hinc bene ſic: δὲ εἶπεν, ὅτι, quod reliqui, adeo Eudoc. non habent.

8) ὀργῇ) Vit. 1. et Ciz. male ὀργὴν, vti etiam φερομένη pro φερόμεναι.

9) διότι) Vit. 1. et Ciz. bene: reliqui cum Eudoc. ὅτι, quia antea non praemiſerant ὅτι.

10) εἰς ἔρ. κινήσασα) A noſtris et Eudocia abſunt.

11) ἐποίησεν) Pro ἔπεισεν Vitt. 2 et 3. cum Eudoc. recte.

Οἰάγρου τεκεῖν [12]) Ὀρφέα καὶ Κυμόθωνα, Τερψιχόρην ἐκ Στρυμόνος Ῥῆσον [13]), Κλειὼ δ' ἐκ Μάγνητος Λῖνον) τὸν ἐρώμενον [14]) αὐτῆς Ἄδωνιν ἀπέκτειναν· μέλος γὰρ [15]) κυνηγεσίας ἦσαν τερπνὸν, καὶ τὸν ἐραστὴν Ἀφροδίτης Ἄδωνιν ἀκούσαντα ποιήσασαι χαυνωθῆναι [16]), ὥρμησαν ἐπὶ κυνηγέσιον. Ἄρης δὲ ὁ Θεὸς, ἀντεραστὴς ὢν Ἀφροδίτης, εἴτε μεταμορφώσας ἑαυτὸν εἰς [17]) χοίρου μορφὴν, εἴτε πρὸς χοῖρον ὁρμήσαντα [18]) τὸν Ἄδωνιν αὐτὸς ἐναντίος [19]) ἐλθὼν, αὐτὸν ἀναιρεῖ. Καὶ τὸ μὲν Ἀδώνιδος αἷμα καταῤῥεῦσαν τὴν ἀνεμώνην, λευκὴν οὖσαν πρότερον, ἐρυθρὰν ἀπειργάσατο· περὶ γὰρ [20]) ἀνεμώνην τὸν Ἄδωνιν πεσεῖν [21]) ἔτυχεν. Ἀφροδίτη δὲ τὸ πάθος μαθοῦσα, γυμνοῖς περιτρέχουσα τοῖς ποσὶν, ἐλεεινὸν [22]) ὠλοφύρετο. Ἀκάνθαις δὲ αὐτὴ [23]) ῥοδωνιᾶς ἐμπαγεῖ-

12) τεκεῖν) Omittunt Vit. 1. et Ciz. forſan, quia iam praeceſſerat, atque καλλιόπη et τερψιχόρη pro καλλιόπην et τερψιχόρην non bene legunt; verum Vitt. 2 et 3. atque Eudocia conſentiunt cum vulgato. Io. Tzetz. in Chil. I. v. 306. matrem Orphei nominat Menippen.

13) Ῥῆσον) Apollod. I, 3, 4. dic. Rheſus natus e Strymone et Euterpe, vel Calliope.

14) τὸν ἐρώμ. — ἀπέκτ.) Habent neque noſtri Codd. neque Eudocia. Priora τὸν ἐρώμ. αὐτῆς bene abeſſe poſſunt, non vero ἀπέκτειναν. Seqq. vero μέλος usque ad Ἄρης Eudocia cum Phauorino praetermittit.

15) γὰρ) Noſtri non agnoſcunt.

16) ἀκούσ. — χαυνωθῆναι) A noſtris abſunt.

17) εἰς) Noſtri cum Eudocia πρός.

18) ὁρμήσ.) Male Eudoc. ὁρμήσας.

19) ἐναντίος) Pro ἐναντίως noſtri cum edd. pr. et Eudocia, bene.

20) περὶ γὰρ) Sic Vitt. 2 et 3. cum Eudoc. ſed Ciz. et Vit. 1. πρὸς γάρ.

21) τὸν Ἄδ. πεσεῖν) Vitt. 2 et 3. cum Eudoc. πεσεῖν τ. Ἄδ. ergo in minimis adeo eam ſequuntur.

22) ἐλεεινὸν) Deeſt in Vit. 1. et Ciz.

23) δὲ αὐτὴ) Interpoſ. καὶ ignorant Vitt. 2 et 3. cum Eudoc. bene.

σα [24]) τῷ καταῤῥεύσαντι αἵματι τὸ ῥόδον ἐρυθρὸν ἀπειργάσατο.

832 — 33. Σχοινίδι, Ἀρέντα, Ξένη] Σχοινὶς, Ἀρέντα, καὶ Ξένη, Ἀφροδίτης ἐπίθετα. Σχοινὶς μὲν λέγεται [1]), ὅτι ἡ σχοῖνος βοτάνη μασσωμένη, τοὺς ὀδόντας μὲν καθαίρει· κινεῖ δὲ καὶ πρὸς τὰ [2] ἀφροδίσια. Ἀρέντα δὲ [3]), ὅτι δύο ξένους ἁρμόττει πρὸς μίαν συνάφειαν γαμικήν. Ξένη δὲ, ὅτι φιλοποιεῖ. Ἡ δὲ σύνταξις οὕτως· Ἐπόψεται ὁ Μενέλαος τόδε καὶ τόδε, καὶ τὸν τάφον τοῦ Γαύαντος τὸν μουσόφθαρτον [4]) (περιφραστικῶς τὸν Ἄδωνιν) τὸν κλαυσθέντα [5]) καὶ θρηνηθέντα [6]) τῇ Ἀφροδίτῃ τῇ τοιᾶδε καὶ τοιᾶδε, ὅντινά ποτε Ἄδωνιν [7]) ἔκτανεν ὁ πτέλας ἤγουν [8]) κάπρος ἐν κραντῆρι [9]) καὶ ὀδόντι λευκῷ. Ἐκ τοῦ εἰπεῖν δὲ, ὅτι ἐπόψεται τάφον Ἀδώνιδος ἤτοι τὸν Ἄδωνιν, τὸν τόπον [10]) λέγει, ἔνθα κεῖται ὁ Ἄδωνις, ἢ τὴν Βύβλον [11]), ἢ τὴν Κύπρον· καὶ ἐν τῇ Βύβλῳ [12]) γὰρ ἦν Ἄδωνις, καὶ ἐν τῇ Κύπρῳ ἕτερος

24) ἐμπαγεῖσα) Pro ἐμπεσοῦσα Vitt. 2 et 3. cum Eudoc. melius.

1) σχοινὶς — λέγεται) A Seb. illata noſtri non praebent.

2) τὰ) Bene addunt Vitt. 2 et 3.

3) Ἀρέντα δὲ) In edd. ſuperior. additur λέγεται, et in Vit. 1. et Ciz. λέγει, a Seb. bene deletum.

4) τὸν μουσόφθ.) Vit. 3. τοῦ μουσοφθάρτου, non male, vt referatur ad γαύαντος.

5) τὸν κλαυσθ. — τοιάδε) Deſunt in Vit. 1. et Ciz.

6) θρηνηθ.) Male Vitt. 2 et 3. γεννηθέντα.

7) ὅντινά — Ἀδών.) Vit. 1. et Ciz. ὅν ποτε, demto voc. Ἄδωνιν.

8) ἤγουν κάπρ.) Vit. 3. pro καὶ ὁ κάπρ. vnde patet καὶ idem eſſe ac ἤγουν.

9) κραντ.) Vitt. 1. 3. et Ciz. κρατῆρι. cf. Bern. Martini Varr. Lectt. IV, p. 99, b.

10) τὸν τόπον — Ἄδωνις) A Seb. addita noſtri firmant, ita tamen, vt praemittant ἤτοι τὸν Ἄδωνιν, quod quoque praemiſimus.

11) βύβλ.) Pro βίβλ. leg. vid. ad v. 829.

12) καὶ ἐν τῇ βύβλῳ usque ad εἴπομεν, κύπριον deſunt in Vit. 1. et Ciz. Videntur eſſe alius gloſſatoris,

Ἄδωνις, ὁ Κινύρου· ἅπερ ἀκριβῶς τινὲς οὐκ εἰδότες, συγχέουσι τοὺς νέους πως [13]), οἱ μὴ γινώσκοντες, τὸν Μύῤῥας Ἄδωνιν Βύβλιον εἶναι, τὸν δ', ὃν εἴπομεν [14]), Κύπριοι, νῆσον Ἀδώνιδος τὴν Κύπρον φασίν [15]. Ἔστι δὲ [16]) καὶ τοῦτο κακόπλαστον, τὸν τάφον μουσόφθαρτον λέγειν· οὐ γὰρ ὁ τάφος, ἀλλ' ὁ Ἄδωνις ὑπὸ Μουσῶν ἐφθάρη.

834. Ἐπόψεται [1]) δὲ] Βλέψει δὲ ὁ Μενέλαος τοὺς τόπους, ὅπου τάδε καὶ τάδε γέγονε, καὶ ὅπου τὸν Περσέα, τὸν τοιόνδε καὶ τοιόνδε, ἁρπάσας ὁ κέπφος καὶ τὸ κῆτος, ἔβη. Πεφήσεται δὲ (ἀντὶ τοῦ ἐπεφήσατο καὶ ἐφονεύθη) ἡ φάλαινα ἡ δυσμίσητος, ἤγουν τὸ κῆτος αὐτὸ, ἐκνευρισθὲν ἐν τῷ ξυρῷ καὶ λογχοδρεπάνῳ τοῦ Περσέως αὐτοῦ, τοῦ οἴξαντος καὶ ἀνοίξαντος τὰς ἱπποβρώτους ὠδῖνας τῶν τόκων τῆς δειρόπαιδος καὶ μαρμαρώπιδος γαλῆς, ἤτοι τοῦ ἀνελόντος τὴν Γοργόνα, καὶ ἐκ τῆς καρατομίας αὐτῆς ποιήσαντος ἐξελθεῖν Χρυσάορα καὶ τὸν Πήγασον.

Ἐπόψεται δὲ] Θεάσεται δὲ καὶ τὴν Αἰθιοπίαν· τύρσιας γὰρ Κηφηΐδας, τὰ τείχη καὶ τὰς πόλεις [2]) λέγει τοῦ Κηφέως. Ὁ δὲ Κηφεὺς, ὁ τῆς Ανδρομέδης [3]) πατὴρ, βασιλεὺς ἦν Αἰθιόπων· καὶ ἐκ τούτου Κηφηΐ-

vel Io. Tzetzae, nam his ſublatis omnia bene cohaerent.

13) πως) A Seb. allatum: noſtri cum vulg. τέως: forſan ὡς.

14) εἴπομεν) Vit. 3. εἶπον.

15) φασίν) Vit. 1. et Ciz. φησί.

16) ἔστι δὲ — ἐφθάρη) Deſunt in Codd. noſtris et edd. ante Pott. Gloſſam redolent.

1) ἐπόψεται —) Primum ſchol. a Seb. e Cod. Vat. prolatum noſtri ignorant. Patere autem inde videtur, quum duo ſchol. in: ἐπόψεται extent, ea quoque eſſe duorum auctorum.

2) τὰ τείχη — πόλεις) Vit. 1. et Ciz. τὴν πόλιν, bene. Sed λέγει pro λέγουσι noſtri cum Seb.

αὐτοῦ, ἀνῆλθεν εἰς τὸν Ἄθω [17]), καὶ ἐκεῖ ἔκτισε πόλιν ὀχυρὰν, τὴν ἀπ' αὐτοῦ Αἰνειάδα προσαγορευθεῖσαν, ἔνθα ἔτυχε, τὸν πατέρα αὐτοῦ Ἀγχίσην τελευτῆσαι. Καὶ πολυτρόπως αὐτὸν καύσας, τὸν χοῦν αὐτοῦ ἐν χρυσῇ λάρνακι βαλὼν, θρηνήσας αὐτὸν οὐ μικρῶς, ἀπ' αὐτῆς ἀπηύρα. Ἔλαβε δὲ καὶ σὺν, ἥτις ἔτεκε τριάκοντα τέκνα· ἧς καὶ ἄγαλμα ποιήσας σὺν τοῖς τέκνοις αὐτῆς, ἀνεστήλωσεν ἐν μιᾷ τῶν παρ' αὐτοῦ κτισθεισῶν πόλεων. Ταυτα μὲν οὗτοι φασί [18])· Λέσχης [19]) δὲ, ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκὼς, Ἀνδρομάχην καὶ Αἰνείαν αἰχμαλώτους φησὶ δοθῆναι τῷ Ἀχιλλέως υἱῷ Νεοπτολέμῳ, καὶ ἀπαχθῆναι σὺν αὐτῷ [20]) εἰς Φαρσαλίαν [21]), τὴν Ἀχιλλέως πατρίδα. Φησὶ γὰρ οὑτωσί [22])·

Αὐτὰρ Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱὸς
Ἑκτορέην ἄλοχον κάταγε [23]) κοίλας ἐπὶ νῆας·
Παῖδα [24]) δ' ἑλὼν ἐκ κόλπου ἐϋπλοκάμοιο τιθήνης,
Ῥίψε, ποδὸς τεταγὼν [25]), ἀπὸ πύργου· τὸν δὲ [26]) πεσόντα

17) Ἄθω) Vit. 1. et Ciz. Ἄθον. Caeterum abſunt a Vitt. 2 et 3 omnia inde ab καὶ τὰ τέκνα vsque ad ταῦτα μὲν οὗτοι φασί, et a Vit. 1. et Ciz. inde ab ἔλαβε δὲ καὶ σὺν vsque ad ταῦτα — φασί.

18) ταῦτα — φασί) Vit. 1. et Ciz. τ. οὗτος φησὶ, vt referatur ad Lycophronem.

19) λέσχης) Cff. Heyne in Excurſ. I. ad Virg. Aen. II, p. 228, qui hos vndecim verſiculos ex eius ἀπόπλου carmine eſſe putat, et Herman. ad Ariſtot. de Art. Poët. p. 172. Reperiuntur quoque hi verſſ. in Fragm. Hom. T. V, p. 136. ed. Erneſti.

20) σὺν αὐτῷ) Vit. 1. et Ciz. perperam σὺν αὐτοῖς.

21) φαρσαλ.) Vitt. 2 et 3. φάρσαλα.

22) οὑτωσί) Vit. 1. et Ciz. οὕτως.

23) κάταγε) Pro κατάγει etiam Vit. 1. et Ciz. cum Seb. Vitt. 2 et 3 κάταγεν, rectius, metri cauſa.

24) παῖδα —) Cum reliquis verſſ. non extant in Vit. 1. et Ciz. Pro παῖδα δ' ἑλὼν Vit. 2. παῖδά θ' ἑλὼν, Vit. 3. παῖδα δέ θ' ἑλὼν, vbi δὲ abundat.

25) τεταγὼν) Vit. 3. τεταγὼς, non bene.

26) τὸν δὲ) Vit. 2. τόνδε.

Ἔλλαβε [27]) πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
Ἐκ δ' ἕλετ' Ἀνδρομάχην, ἠΰζωνον [28]) παράκοιτιν
Ἕκτορος· ἥντε οἱ αὐτῷ ἀριστῆες Παναχαιῶν
Δῶκαν ἔχειν, ἐκίηρον ἀμειβόμενοι γέρας ἀνδρί.
Αὐτόν τ' [29]) Ἀγχίσαο κλυτὸν γόνον ἱπποδάμοιο
Αἰνείαν [30]) ἐν νηυσὶν ἐβήσατο ποντοπόροισιν,
Ἐκ πάντων Δαναῶν [31]) γέρας ἀγέμεν ἔξοχον ἄλλων.

1272. Ἐν ὀψιτέκνοις [1])] Ῥῶμος γὰρ καὶ Ῥωμύλος, οἱ τούτου ἀπόγονοι, ταύτην ἔκτισαν.

Δομήσεται] Τὸ δο, μικρὸν γραφόμενον, ἐκτείνεται ὑπὸ τοῦ μ, καὶ δέχεται ἀντὶ μακροῦ καὶ μικρὸν ο [2]). Ἀττικῶς δὲ μέγα γράφεται.

1273. Κιρκαίου [3])] Ὄρος Ἰταλίας τὸ Κίρκαιον.

1274. Ἀργοῦς τε κλεινὸν ὅρμον, Αἰήτην] Αἰήτης, λιμὴν ἐν Ἰταλίᾳ, ἔνθα φασὶν ὁρμισθῆναι [4]) τὴν

27) ἔλλαβε) Vitt. 2 et 3. ἔλαβε. Pauſ. X, 25. Andromachen captam et Aſtyanactem de turri praecipitatum non ſententia Graecorum, ſed priuato Neoptolemi odio e Leſche tradit.

28) ἠΰζωνον) Vit. 3. εὔζ. vt Codd. Potteri: ἠΰζωνον metrum poſtulat.

29) αὐτόν τ') Vitt. 2 et 3. αὐτὸν δ'.

30) Αἰνείαν) Hic verſ. abeſt a Vit. 3.

31) Δαναῶν) Vitt. 2 et 3. Ἀχαιῶν.

1) Ἐν ὀψιτέκνοις) Schol. v. 1272 et 1273. deſunt in Vit. 1. et Ciz. Priora Ῥῶμος (ſic leg. cum noſtris pro Ρέμος) — ἔκτισαν in Vitt. 2 et 3. ponuntur poſt alterum ſchol. δομήσεται. Videntur eſſe Io. Tzetzae, qui vbique iactat cognitionem proſodiae.

2) μικρὸν ο) Vit. 2. μικρ. ὂν, vt edd. ante Pott. Vit. 3. μικροῦ ο, vitioſe.

3) κιρκαίου) A Seb. additum Vitt. 2 et 3. quoque addunt, ſed pro κίρκαιον legunt κίρκη, verum ὄρος κίρκαιον quoque ſchol. Apollon. III, 311, p. 182. Virg. Aen. VII, 199. *iugum Circaeum*, iam Circelli.

4) ὁρμισθῆναι) Noſtri pro ὁρμηθῆναι, recte, nam nauem eo ſubductam eſſe ſeqq. docent. Hinc ſcholio addidimus Αἰήτης — πόλισμά τι, quae, quamquam Vit. 1. et

Ἀργὼ, καὶ καθαρθῆναι ὑπὸ Κίρκης ἐκ τοῦ φόνου τοῦ Ἀψύρτου Ἰάσονα καὶ Μήδειαν. Αἰήτης δὲ ἐκλήθη ὁ ποταμὸς ἀπὸ τοῦ Αἰήτου τοῦ κτίσαντος ἐν αὐτῇ πόλισμά τι.

1275. Φόρκης] Φόρκη, λίμνη στάδια [5]) πεντακόσια τῆς Ῥώμης ἀπέχουσα.

Μαρσιωνίδος] Μαρσοὶ, ἔθνος Ἰταλίας, περὶ ταύτην [6]) τὴν λίμνην Φόρκην οἰκοῦντες.

1276 — 77. Τιτώνιόν τε χεῦμα] Τιτὼν [7]), ποταμὸς Ἰταλίας ἐγγὺς Κιρκαίου, ὃ Κίρκαιον ἀπὸ τῆς Κίρκης καλεῖται· ὁ δὲ Τιτὼν οὗτος [8]) ποταμὸς οὐκ εἰς θάλασσαν ῥέει, ἀλλ' ὑπὸ γῆς [9]) καταπίνεται, ὥς φησι καὶ Φιλοστέφανος [10]).

1278 — 80. Ζωστηρίου τε κλιτὺν] Ζωστήριον, ὄρος Ἰταλίας, ἐν ᾧ ἱερὸν Ζωστηρίου Ἀπόλλωνος. Φησὶ γοῦν, ὅτι ἐνταῦθα διῆγον αἱ Σίβυλλαι [1]). Τρεῖς δὲ [2]) ἦσαν Σίβυλλαι, Κυμαία (ἣν καὶ Ἀπόλλωνός φασιν ἀδελφὴν), Ἐρυθραία, καὶ Σαρδιανή· ὥσπερ [3]) καὶ τρεῖς

Ciz. adnectunt ſchol. v. 1275, huc pertinent.

5) στάδια) Pro σταδίους Vit. 1. et Ciz. Vtrumque in vſu eſt.

6) περὶ ταύτ.) Pro παρὰ ταύτ. noſtri, ſed Φόρκην a Seb. perperam intruſum non agnoſcunt.

7) τιτὼν) Noſtri pro τίτων.

8) οὗτος) Vit. 1. et Ciz. ὁ.

9) ὑπὸ γῆς) Vitt. 2 et 3. art. τῆς delent.

10) Φιλοστέφανος) περὶ τῶν παραδόξων ποταμῶν. Athen. VIII, 331, d. et 332, e, f. cf. Voſſ. de Hiſt. gr. p. 77. Meminerunt eius quoque, quos Voſſius non laudat, ſchol. Apollon. Rh. I, 152. 985. 1014. L. II, 123. 706. 948. L. III, 1242. ſchol. Theocrit. V, 14. Plin. H. N. VII, 56. Ptol. Hephaeſt. ap. Phot. C. 190. f. 477.

1) διῆγον — Σίβυλλαι) Pro διῆγεν ἡ Σίβυλλα Vitt. 2 et 3. apte ſeqq. ſed, ni fallor, ex emendatione Io. Tzetzae, nam Vit. 1. et Ciz. vt vulg.

2) τρεῖς δὲ) Pro τρ. γὰρ Vit. 1. et Ciz. cum Seb.

3) ὥσπερ — Ἀρκάς) Abſunt in Vit. 1. et Ciz. ab hoc loco, et transpoſita poſt ταρκυνίου τοῦ ὑπερηφ. melius ſane, quia oratio his

Βάκιδες 4) χρησμολόγοι ἦσαν 5), ὁ ἐξ Ἐλεῶνος τῆς Βοιωτίας, καὶ ὁ Ἀθηναῖος, καὶ ὁ Ἀρκάς. Περὶ ἧς δὲ Σιβύλλης νῦν ὁ Λυκόφρων λέγει, Κυμαία ἦν, ἥτις τέθνηκεν ἐν χρόνοις 6) Ταρκυνίου τοῦ Ὑπερηφάνου, βίβλους προφητικὰς αὐτῆς τρεῖς ἢ ἐννέα καταλιποῦσα. Ὧν ἢ μίαν ἢ τρεῖς εξωνήσαντο οἱ Ῥωμαῖοι, τὰς δὲ 7) λοιπὰς τῆς ἐκείνης θεραπαίνης ἀναλωσάσης 8) πυρὶ, ὅτι μὴ εδίδουν ἐκείνῃ ὅσον ἐζήτει χρυσίον 9). Ὃ ὕστερον ποιήσαντες, ἐξωνήσαντο ἢ μίαν τὴν καταλειφθεῖσαν, ἢ τρεῖς, καὶ ἔδοντο Μαρκῳ Ἀκιλίῳ 10) φυλάσσειν. Ζῶντα δὲ τοῦτον εἰς δέρμα βοος ἐμβαλόντες, ἀνεῖλον, ὅτι πρὸς μεταγραφὴν ἔδοτο· τὴν δὲ βίβλον, ἢ τὰς βίβλους ὀρύξαντες, ἐν μέσῃ τῇ ἀγορᾷ μετὰ λάρνακος κατέχωσαν.

Ex 1280. Γρώνῳ 1) βερέθρῳ] Γρώνῳ, τῷ κοίλῳ· βερέθρῳ δὲ, τῷ σπηλαίῳ.

interiectis male interrumpitur. Sed Io. Tzetzes, vt opinor, huc transtulit, quia post ταρκυνίου τοῦ ὑπερηφ. plura, scl. βίβλους — κατέχωσαν, addidit, quae omnia desunt in Vit. 1. et Ciz. Pro ὥσπερ hi habent ὡσαύτως.

4) Βάκιδες) Sic quoque Vit. 1. et Ciz. cum Eudoc. p. 374. vnde haec ducta videntur, sed Vitt. 2 et 3. Βάκχιδες. Verum Βάκιδες recte, sic Cic. de Diuinat. I, 18. Bacis Boeotius.

5) ἦσαν) Addunt Vit. 1. et Ciz.

6) ἐν χρόνοις) Nostri pro ἐν χρόνῳ.

7) τὰς δὲ) Pro ὡς τὸς bene Vitt. 2 et 3.

8) τῆς — ἀναλωσάσης) Vitt. 2 et 3. τὰς ἐκείνης θεραπαινίδας ἀναλώσας, mire; sed vulg. etiam aliena ab historia narrat, nam Sibylla ipsa traditur combussisse libros, cf. Gell. Noctt. Att. I, 18.

9) χρυσίον) Nostri pro χρυσὸν, vt Dionys. Hal. IV, 62.

10) Ἀκιλίῳ) Dionys. Hal. l. l. Μάρκον Ἀτύλιον (Sylburg. fors. Ἀκύλιον) nominat. Latinis dic. Acilius et Aquilius. *Caeterum Reimarus id ex hoc Tzetzae scholio sumtum inter Dionis Fragm. T. II, pag. 1522. posuit, ideo, quia Zonaram idem ex hoc historico narrantem inuenit Tom. I, p. 331, b.* Sebast.

1) γρώνῳ) Hoc schol. carent Vitt. 2 et 3.

1283 — 84. Τί γὰρ ταλαίνῃ μητρὶ τοῦ [2]) Προμηθέως] Ἀσίας καὶ Ἰαπετοῦ Προμηθεὺς καὶ Ἐπιμηθεὺς [3]), οὗ Προμηθέως καὶ Ἡσιόνης, ἢ Ἀξιοθέας, παῖς Δευκαλίων. Ἀπὸ γοῦν ταύτης τῆς Προμηθέως μητρὸς [4]) Ἀσίας ὁ Λυκόφρων λέγει τὴν χώραν καλεῖσθαι [5]), ὡς καὶ [6]) τὴν Εὐρώπην ἀπὸ Εὐρώπης, ἥτις ἐκ Διὸς ἐγέννησε Σαρπηδόνα, Μίνωα, καὶ Ῥαδάμανθυν. Ἕτεροι δὲ τὴν μὲν Ἀσίαν ἀπὸ Ἀσίου [7]) φασὶ κληθῆναι· τὴν δὲ Εὐρώπην ἀπό τινος Εὐρώπου [8]), υἱοῦ Ἱμέρου [9]). Ἄνδρων [10]) δὲ ὁ Ἁλικαρνασσεὺς Ὠκεανὸν ἱστορεῖ γῆμαι δύο γυναῖκας, Πομφολύγην καὶ Παρθενόπην. Ἐκ μὲν οὖν Πομφολύγης φησὶ γεννῆσαι αὐτὸν Ἀσίαν καὶ Λιβύην· ἐκ δὲ Παρθενόπης Εὐρώπην καὶ Θρᾴκην, ἀφ' ὧν καὶ αἱ χῶραι [11]) τὴν κλῆσιν ἐσχήκασιν.

2) τοῦ προμηθ.) Vitt. 2 et 3. τῇ πρ. cf. Nott. ad Lycophr.

3) καὶ ἐπιμηθεύς) Abſunt a Vitt. 2 et 3. Huius matrem non Aſiam, vt Apollod. I, 2, 2. ſed Clymenen fuiſſe narrant Heſiod. Theog. 508, et ſchol. Aeſchyli Prometh. 347.

4) μητρός) Deeſt in Vitt. 2 et 3.

5) χώραν καλεῖσθαι) Euſtath. ad Dionyſ. 620. Ἀπὸ Ἀσίας μητρὸς Προμηθέως, ὡς καὶ Λυκόφρων βούλεται, Ἀσία ἡ χώρα ὠνόμασται, collat, v. 270. cf. Creuzer Fragm. Hiſtor. Gr. p. 153 ſqq. et Hermann ad Homeri Hymn. in Apoll. 250, p. 25.

6) ὡς καὶ) Noſtri ὡς omittunt.

7) Ἀσίου) Sic Steph. Euſtath. ad Dionyſ. v. 620. ἀπὸ Ἀσίου τοῦ Ἄτυος, ſed v. 270. ἀπὸ Ἀσίεω τοῦ Ἄτυος: Herodot. IV, 45. vid. Creuzer l. l.

8) Εὐρώπου) Vitt. 2 et 3. recte pro Εὔρωπος, vt Seb. cum Ciz. et Vit. 1. Sic quoque Euſtath. l. l. v. 270. ἀπὸ τινὸς ἀνδρὸς Εὐρώπου: Herodot. vero IV, 45. Steph. et Eudocia p. 162. ab Europa Tyria, filia Agenoris.

9) Ἱμέρου) Sic quoque Vit. 1. et Ciz. ſed Vitt. 2 et 3. Μέροπος. Dubium, quid ſit verum.

10) Ἄνδρων ſqq.) Idem narrat Eudoc. p. 439, cf. ſupra ad v. 894.

11) καὶ αἱ χῶραι) Pro αἱ χῶρ. Vit. 3. vt Eudoc. καὶ τὰς χώρας λέγει κληθῆναι.

1285. Ἃς πόντος Ἕλλης] Ἄστινας [1]) Εὐρώπην καὶ Ἀσίαν διαχωρίζει ὁ Ἑλλήσποντος, καὶ τόδε καὶ τόδε. Ὅθεν δὲ ἐκλήθη ὁ Ἑλλήσποντος, εἴπομεν πολλάκις. Ἰστέον δὲ [2]), ὅτι Ἑλλήσποντος ἐκλήθη ὁ ἀπὸ Σηστοῦ καὶ Ἀβύδου τόπος, οὗ ὁ Ξέρξης τὴν γέφυραν ἔζευξε, μέχρι τοῦ Θρακικοῦ μέρους [3]) βοσπόρου, ὃν Βόσπορον Δαρεῖος, ὁ Ξέρξου πατὴρ, ἐγεφύρωσε πρὸ τοῦ γεφυρῶσαι Ξέρξην [4]) τὸν Ἑλλήσποντον.

Πέτραι Συμπληγάδες] Αἱ δὲ Συμπληγάδες πέτραι δύο εἰσίν· ἡ μὲν ἐν Εὐρώπῃ πρὸς τῷ Βυζαντίῳ, ἡ δὲ ἐν Ἀσίᾳ πρὸς τῇ Καλχηδόνι [5]), ἃς Ὅμηρος [6]) Πλαγκτὰς καλεῖ. Εἶναι δὲ φησὶν αὐτὰς περὶ Τυρσηνίαν. Ὁ δὲ Ἐρατοσθένης [7]) Συνορμάδας [8]) καλεῖ [9])· κεκρυμμένας δὲ καὶ λεληθότας [10]) περὶ τὸν Εὔξεινον πόντον φησὶν, ἤτοι περὶ τὸ Στενόν. Ἀπολλώνιος δὲ καὶ οὗτος ὁ Λυκόφρων Συμπληγάδας αὐτὰς λέγουσιν. Ἀλλ' ὁ μὲν Λυκόφρων

1) ἄστινας — πολλάκις) Abſunt a Vit. 1. et Ciz.: a Vitt. 2 et 3. modo καὶ τόδε — ἑλλήσποντος.

2) Ἰστέον δὲ) Vit. 1. et Ciz. pro τοῦτο δὲ ἰστέον, et hinc ἐκλήθη pro ἐστίν.

3) μέρους) Pro ἡμετέρου Vitt. 2 et 3. cum Seb. forſ. e correctione Io. Tzetzae.

4) Ξέρξην) Vit. 1. et Ciz. ξέρξη.

5) συμπληγάδες — καλχηδόνι) Vit. 1. et Ciz. hic apte ponunt: in vulg. claudunt ſchol. A Vitt. 2 et 3. plane abſunt.

6) Ὅμηρος) Immo deos ſic eas appellare dicit Odyſſ. μ, 61. cf. Heyne Obſeruatt. ad Apollod. p. 80 ſqq.

7) Ἐρατοσθ.) Cf. Voſſ. de Hiſt. gr. p. 88. et Fabric. Bibl. Gr. Vol. IV, p. 117 ſqq. In Geographia. cf. Fabric. l. l. p. 121.

8) συνορμάδ.) Sic quoque nominat Simonides, cf. Schol. Euripid. Med. 2. τὰς δὲ συμπληγάδας ὁ Σιμωνίδης συνορμάδας φησί. et addit: Ἐρατοσθένης δὲ ἐν γεωγραφουμένοις φησὶ, τὸν πλοῦν στενὸν εἶναι καὶ σκολιὸν, δι' οὗ φαντάζεσθαι τοὺς πλέοντας τὴν ἀπόκλεισιν τῶν πέτρων. Vit. 1. et Ciz. pro συνορμ. legunt συναρμωγάς.

9) καλεῖ) Vit. 3. non habet, ratione habita ſeq. φησί.

10) κεκρυμμένας καὶ λελ.) Ex emendatione Sebaſt. Noſtri tuentur vulg. κεκρυμμένως καὶ λεληθότως.

οὗτος φαίνεται μεταξὺ ταύτας εἶναι λέγων [11]) Καλχηδόνος καὶ Βυζαντίου, ὡς εἶναι τὸ λεγόμενον παρ' ἰδιώταις βαρβάροις [12]) Ῥεῦμα· ὁ δὲ Ἀπολλώνιος [13]) ποτὲ μὲν φαίνεται περὶ τὸν Εὔξεινον [14]) ποντον, ἤτοι τὴν τοῦ Στενοῦ κλεῖδα, λέγων αὐτάς· ποτὲ δὲ ὁμοίως τῷ Λυκόφρονι, γράφων [15])·

Πληγάδας [16]) ἀξείνους [17]), καὶ ὅπου φοινήϊα δόρπα.

Ἦσαν δὲ αἱ Συμπληγάδες, ὡς ληροῦσι [18]), πέτραι δύο, συγκρούουσαι [19]) πρὸς ἀλλήλας [20]), καὶ συναράσσουσαι [21]) τὰ πλοῖα. Ἐπεὶ δὲ παρέπλευσε ταύτας ἡ Ἀργὼ, ἐῤῥιζώθησαν καὶ επαύθησαν τῆς κινήσεως.

Συμπληγάδες [22])] Αἱ συμπλέουσαι καὶ προσκρούουσαι ἀλλήλαις. Πλαγκταὶ δὲ, ὡς πλανώμεναι περὶ τὰς ἀκτάς.

11) λέγων) Vit. 3. λέγειν, non male.

12) βαρβάροις) Vitt. 2 et 3. βαρβάρου.

13) Ἀπολλών.) IV, 786 ſqq.

14) Εὔξεινον) Cf. Euſtath. ad Dionyſ. 157.

15) γράφων) Abeſt a Vitt. 2 et 3.

16) πληγάδας —) Hic verſus ita, vt hic legitur, non extat ap. Apollon. cf. tamen L. II, 597 ſqq. Sebaſt. hallucinari Tzetzam et verſ. ab ipſo fictum vel plane ſustollendum (ſic!) vel allatos verſſ. L. II. in eius vicem ſubſtituendos eſſe arbitratur. Compoſuiſſe videtur Tzetzes hunc verſ. ex Apollon. II, 596 et 598. vbi confudit νήϊα δοῦρα et φοινήϊα δόρπα, quibus hic verſ. allatus finitur.

17) ἀξείνους) Noſtri εὐξείνους cum Pott. Mſſ.

18) ληροῦσι) Vit. 1. et Ciz. λέγουσι. Videtur eſſe Io. Tzetzae ληροῦσι.

19) συγκρ.) Apollod. I, 9, 22. Noſtri συγκροτοῦσαι, non male.

20) ἀλλήλας) Vit. 3. ſolus ἀλλήλαις.

21) συναράσσ.) Vitt. 2 et 3. συνταράσσουσαι.

22) συμπληγ.) Hoc ſchol. in Codd. noſtris non reperitur, nec opus erat addere, omnibus iam antea explicatis. Dionyſ. v. 145 nominat πλαζομένας πέτρας: Val. Flacc. IV, 562, *errantes Cyaneas*.

1286. Σαλμυδησσὸς [1])] Τὸ μεταξὺ Βυζαντίου καὶ Δαμάλεως πέλαγος, ἀπὸ Σαλμυδησσοῦ, παραῤῥέοντος [2]) ποταμοῦ.

Κακόξεινος κλύδων] Ὁ Εὔξεινος, τὸ Στενόν. Κατ' εὐφημισμὸν δὲ ἐλέγετο [3]) Εὔξεινος, διὰ τὸν σκολιὸν πλοῦν, καὶ τοὺς ἐκεῖσε [4]) κατοικοῦντας λῃστὰς, οὓς Ἡρακλῆς ἀνεῖλε. Καλῶς δὲ νῦν ὁ Λυκόφρων φησὶ [5]) κακόξεινον τοῦτον, Αἰσχύλῳ ἀκολουθῶν. Αἰσχύλος γὰρ περὶ τῆς θαλάσσης [6]) ταύτης οὑτωσὶ λέγει [7])·

. . . ἀμφὶ Θερμώδονθ', ἵνα
Τραχεῖα πόντου Σαλμυδησσία γνάθος
Ἐχθρόξενος [8]) ναύτῃσι [9]), μητρυιὰ νεῶν.

1287. Σκύθαισι γείτων] Μετὰ γὰρ τὸ Στενὸν πέλαγος καὶ τὸ Ἱερὸν ἡ Σκυθία ἐστί.

1288 — 89. Λίμνην τε τέμνων Τάναϊς] Ὁ Τάναϊς, ποταμὸς τῆς Σκυθίας, διαιρεῖ Ἀσίαν καὶ Εὐρώπην, εἰςβάλλων [10]) εἰς τὴν Μαιῶτιν λίμνην, ὥς φησι [11]) καὶ [12]) Διονύσιος·

1) Σαλμυδησσ.) Sic quoque Vitt. 2 et 3. recte, sed Vit. 1. et Ciz. Σαλμυδισσὸς, cff. Nott. ad Lycophr.

2) παραῤῥ.) Vit. 1. et Ciz. περιῤῥέοντος. Schol. Aeschyli Prometh. 725. ἀπὸ τινὸς σαλμυδησοῦ ποταμοῦ ἐντεῦθεν ἐκρέοντος εἰς τὴν θάλασσαν.

3) ἐλέγετο) Ciz. et Vit. 1. λέγεται: vulgata aptior.

4) ἐκεῖσε) Addunt bene Vit. 1. et Ciz.

5) φησὶ) Pro ἔφη Vit. 1. et Ciz. bene.

6) θαλάσσης) Vit. 3. θαλαττίας.

7) λέγει) Vit. 1. et Ciz. φησί. In Prometh. 731 sqq. ed. Schütz. cff. quoque Strab. VII, p. 298. et schol. Apollon. II, 347. Sed verss. duo prior. a Seb. adiectos nostri non adiiciunt.

8) ἐχθρόξεν.) Vit. 1. et Ciz. ἐχθρόξεινος, quod metro repugnat.

9) ναύτῃσι) Sic quoque Vit. 1. et Ciz. sed Vitt. 2 et 3. vt edd. vett. ναύταισι.

10) εἰςβάλλ.) Vit. 3. εἰςβαλὼν, vitiose.

11) ὥς φησι vsque ad ἅμα δὲ χιμέτλων) Ciz. et Vit. 1. modo haec: ἣν φασι τοσοῦτον εἶναι ψυχρὰν, ὡς τοὺς περὶ αὐτὴν οἰκοῦντας χίμετλα, ἤτοι ἀποψύγματα καὶ ἀποκαύματα

Εὐρώπην δ' Ἀσίης Τάναϊς διὰ μέσσον [13]) ὁρίζει,
(Ὅς ῥά θ', ἑλισσόμενος γαίης διὰ Σαυροματάων [14]),
Σύρεται ἐς Σκυθίην [15]) τε καὶ ἐς Μαιώτιδα λίμνην)
Πρὸς βορέην [16]).

1290. Χίμετλα] Τὰ ἐκ χειμῶνος ἀποψύγματα τῶν χειρῶν καὶ τῶν ποδῶν· τοσοῦτον γάρ ἐστι ψυχρὸν ἡ παρὰ Μαιῶτιν Σκυθία, ὡς χίμετλα, ἤτοι ἀποκαύματα [17]), γίνεσθαι τοῖς ἐνοικοῦσι τὴν χώραν. Ἴαμα δὲ χιμέτλων, ὥς φησι [18]) Νίκανδρος, ἀμφισβαίνης [19]) ὄφεως δέρμα, καὶ παλιούρου ῥίζης ζωμὸς περικλυζόμενος [20]).

Μαιώταισι [21])] Μαιῶτις γὰρ λέγεται ἡ λίμνη, ἐν ᾗ πάντες οἱ ἰχθύες ἀπομαιοῦνται.

1291 — 95. Ὄλοιντο ναῦται πρῶτα Καρνῖται] Κάρνις, πόλις Φοινίκης. Φοίνικες δὲ, ἔμποροι [1]) ὄντες,

ποιεῖν ἐν ταῖς χερσὶν καὶ τοῖς ποσίν. Haec fuerunt ſine dubio Iſaac Tzetzae, ſed reliqua a Io. Tzetza addita, vt oſtentaret doctrinam ſuam.

12) καὶ) Inſerunt Vitt. 2 et 3. Διόνυσ. v. 14 — 17.

13) μέσσον) Vit. 2. μέσων, perperam.

14) Σαυροματάων) Ita Dionyſ. et edd. omnes ante Seb. qui cum Vitt. 2 et 3. Σαυρομάτων.

15) Σκυθίην τε) Vit. 3. tollit τε, vt Codd. Potteri.

16) πρὸς βορ.) A Seb. annexa noſtri non anectunt, nec opus erat ea annectere.

17) ἤτοι αποκ.) Abſunt a Vitt. 2 et 3. deinde legunt γιν. τοῖς οἰκοῦσι pro γιν. ἐν τοῖς ἐνοικοῦσι, bene, nam ἐν plane redundare videtur.

18) ὥς φησι) Noſtri pro καθά φησι. Nicand. Ther. v. 382 ſeqq.

19) ἀμφισβ.) Noſtri ἀμφισβένης, male.

20) περικλυζ.) Noſtri pro παρακλυζ. apte. *Caeterum Nicandri locum ita ex antiquis, vt Tzetzes, explicuit Demetrius, nempe de τῷ ὑπὸ τοῦ ῥίγους διασπασμῷ, vid. ibi ſchol. p. 26. ad extr. quod ſcholiaſta quoque cum Tzetza facit.* Thryllit.

21) Μαιώτ.) Hoc ſchol. e Vat. Cod. a Seb. prolatum noſtri ignorant.

1) ἔμποροι) Noſtri ἔμπειροι, non ſatis apte.

ἦλθον εἰς τὸ Ἄργος, καὶ ἁρπάσαντες [2]) Ἰὼ, τὴν Ἰνάχου θυγατέρα, ἐκόμισαν εἰς Αἴγυπτον τῷ Ὀσίριδι [3]), ὡς καὶ [4]) ὁ Λυκόφρων οὗτος καὶ ἕτεροί φασιν. Ὁ δὲ Ἡρόδοτος [5]) αὐτὴν [6]) λέγει τὴν Ἰὼ παρὰ [7]) τὸ πλοῖον τῶν Φοινίκων κατερχομένην, μίγνυσθαι τῷ ναυκλήρῳ. Ἔγκυος δὲ γενομένη, ἐξῃτήσατο αὐτοῖς [8]), φόβῳ τοῦ πατρὸς, ἀπαχθῆναι εἰς Αἴγυπτον. Βοῶπιν δὲ αὐτὴν λέγει, ὅτι μυθικῶς, ὥς φασιν, ὁ Ζεὺς ἐμίγνυτο αὐτῇ, γνοῦσα δὲ [9]) ἡ Ἥρα, βοῦν αὐτὴν ἐποίησεν. Ἡ δ' ἀλήθεια οὕτως ἔχει, ὅτι οἰστρηθεῖσα ὑπ' ἔρωτος, δίκην βοὸς ἐπλανᾶτο.

Ex 1292. Ταυροπάρθενον] Σόλοικον φαίνεται, εἰ μὴ οὕτως εἴπῃ τὶς, τὴν ἐποχουμένην τῷ ταύρῳ, ἤτοι τῷ ταυρομόρφῳ πλοίῳ· οὐ γὰρ ἀῤῥενόθηλυς ἦν, ὥστε λέγειν αὐτὴν ταυροπάρθενον· οὐ γὰρ ταῦρος ἐγένετο, ἀλλὰ βοῦς. Τὸ δὲ πλοῖον, ἔνθα ἡρπάγη, ταυρόπρωρον ἦν [10]).

Ex 1294. Πλάτιν [11])] Πλάτιδας καὶ πλαγγόνας [12]), ληνὰς [13]), ἀγύδας [14]), τὰς νύμφας καλοῦσι Λάκωνες, Κύπριοι, καὶ ἕτεροι.

2) καὶ ἁρπάσ.) Circa haec verba in margine Vit. 2. ſcripta leguntur: λέγεται δὲ, ὅτι ἀρχὴ γέγονε πολέμου Ὀσίριδος.

3) τῷ Ὀσίρ.) Delent τῷ Vitt. 2 et 3.

4) ὡς καὶ) Pro ὡς Vitt. 2 et 3. deinde noſtri καὶ ἕτεροι φασὶν bene, pro φησὶ, καὶ ἕτεροι.

5) Ἡρόδοτ) I, 5.

6) αὐτὴν) Vitt. 2 et 3. αὐτός.

7) παρὰ) Noſtri περί.

8) αὐτοῖς) Pro αὐτοῦ noſtri cum Sebaſt.: forte αὐτούς.

9) γνοῦσα δὲ) Vitt. 2 et 3. pro ὁ γνοῖσα.

10) τὸ δὲ πλ. — ἦν) Haec a Seb. addita Vit. 1. et Ciz. etiam, ſed ad extr. ſcholii ſuperioris addunt.

11) πλάτιν) Vit. 1. et Ciz. πλᾶτιν. vid. Nott. ad Lycophr.

12) πλαγγόνας) A πλαγγὼν et πλάζω. Sic omnino legendum, non vero cum Seb. πλάγωνας. Vit. 1. et Ciz. tuentur vulg. πλάτωνας: Vitt. 2 et 3. plane omittunt, cf. Etymolog. Heſych. ad πλαγγὼν, ſchol. Theocrit. II, 110. et Spanheim ad Callim.

Κῆρα [15])] Αὐτὴν τὴν Ἰὼ [16]) λέγει [17]), ὅτι αὐτὴ [18]) ἀρχὴ πολέμου γέγονεν τῇ Ἀσίᾳ καὶ τῇ Εὐρώπῃ [19]), ταῖς δυσὶν ἠπείροις.

Μεμφίτῃ] Τῷ Ὀσίριδι, ὡς οὗτός φησι. Μέμφις [20]) γὰρ πόλις Αἰγύπτου· Μεμφίτῃ οὖν τῷ Αἰγυπτίῳ.

1297. Κούρητες] Οἱ τὸν Δία θρέψαντες ἐν Κρήτῃ δαίμονες [1]), ἀφ' ὧν νῦν Λίβας [2]) τοὺς Κρῆτας λέγει.

in Cererem v. 92. Huc pertinet quoque Phot. in Lex. πλάγγων· κοροκόσμιον κήρινον, ὅπερ δάγυνον οἱ Ἴωνες.

13) ληνὰς) Sic omnino legendum, a ληναῖος, *Bacchus*, pro λίνας, quod omnes Codd. ſeruant.

14) δαγύδας) A δαγὺς, recte. Vitt. 2 et 3. perperam δαγίδας, cf. Schol. Theocrit. l. l. et Phauor. ad δαγύδι.

15) κῆρα —) Hoc ſchol. a Seb. huc translatum in noſtris et edd. pr. ponitur poſt Μεμφίτῃ. Scholiaſtae, vti iam obſeruatum eſt, non ſemper ordinem verborum ſequuntur, ſcholiaque additamentis ſubinde aucta novis transpoſita videntur.

16) τὴν Ἰὼ) A Seb. additum noſtri non agnoſcunt.

17) λέγει) Vitt. 2 et 3. εἶπεν.

18) ὅτι αὐτὴ) Sic Vit. 1. et Ciz. reliqui αὐτῇ non habent. Ὅτι pro ὅτε cum Seb. praebent.

19) τῇ Ἀσίᾳ — τῇ Εὐρ.) Pro Ἀσίᾳ καὶ Εὐρώπῃ Vitt. 2 et 3. bene.

20) Μέμφις) Pro Μέμφη Vit. 1. et Ciz. recte, cff. Steph. et Strab. XVII, p. 807. Deinde adiiciunt Vit. 1. et Ciz. Μεμφίτῃ — Αἰγυπτίῳ.

1) δαίμονες) Abeſt a Vitt. 2 et 3. vti etiam ab Apollod. I, 2, 7. cf. Heyne ad h. l. in Obſeruatt. p. 7. In Callimach. in Iouem v. 46. dicc. κύρβαντες, ii vero in ſcholiis δαίμονες περὶ Ῥέαν, οἱ τὸν Δία φυλάξαντες. Eudoc. p. 195. δαίμονες οὗτοι οἱ κορύβαντες.

2) νῦν) Sic Vitt. 2 et 3. ſed Vit. 1. et Ciz. cum edd. ante Pott. νῦν λίβας, h. e. *Phoenices*, quae vero lectio Pottero ideo ſe non probavit, quod poeta hic a Curetibus vniuerſos Cretenſes appellet κούρητας. Equidem eam non damnauerim, nam primum haec eſt lectio Codicis antiquiſſimi, tum

Ἀντίποινον] Εἰς ἀντέκτισιν καὶ ἀνάσωσμα [3]), Εὐρώπην ἐκ Φοινίκης ἁρπάσαντες ἀντὶ τῆς Ἰοῦς.

1298. Πόῤῥιν [4])] Δάμαλιν. Ἔφην δὲ πολλάκις, ὅτι δύο ρρ χρὴ γράφειν· πόρτις [5]) γὰρ ἦν. Ἐπεὶ οὖν γέγονε πόρτις, ἀντὶ τοῦ τ ὀφείλει τεθῆναι [6]) δεύτερον ρ [7]). Οὗτος δὲ ἀδείᾳ Λυκοφρονικῇ πάντα γράφει, οὐκ εἰδὼς, ὡς ἔοικεν, ὅτι τὸ χωλὸν πάθος ἐστὶ τοῦ ἰάμβου [8]), καὶ τίθεται καὶ σπονδεῖος, καὶ τροχαῖος ἐν τῷ τέλει τοῦ ἰαμβικοῦ [9]).

1299. Ἐν ταυρομόρφῳ τράμπιδος] Καλλίστως [10]) τοῦτο ἔγραψεν ὁ Λυκόφρων, ὅτι ταυρομόρφῳ πλοιαρίῳ [11]) ἐκ τῆς Φοινίκης οἱ Κρῆτες τὴν Εὐρώπην ἁρπάσαντες, ᾤχοντο· ληροῦσι γὰρ μυθικῶς [12]) οἱ μυθογράφοι, ὅτι ὁ Ζεὺς, ταῦρος γεγονὼς, αὐτὴν ἥρπαξεν. Ἔχει δὲ καὶ ἄλλως ὁ μῦθος [13]). Ταῦρος, ὁ Κνώσ-

ea non eſt, quam des libidini aut ſtupori librarii vel gloſſatoris, deinde ἀφ᾽ ὧν non ſignificat *a Curetibus*, ſed: *ab hoc officio, quod Curetes Ioui puero praeſtiterunt in Creta.* Magis probauerim coniecturam Potteri Ἰδαίους.

3) καὶ ἀνάσ.) Sic quoque Vit. 1. et Ciz. ſed Vitt. 2 et 3. non praebent. Sane ἀνάσωσμα verbum incognitum, nec tamen ineptum. Deinde pro ἀντίκτησιν omnino cum noſtris legendum ἀντέκτισιν, ab ἀντεκτίω.

4) πόῤῥιν) Codd. Vitt. 2 et 3. transpoſito hoc ſcholio, priorem locum dant ſequenti. Vit. 1. et Ciz. plane ignorant, quia carpit Lycophr.

5) πόρτις) Vitt. 2 et 3. πόρις.

6) τεθῆναι) Vit. 3. τεχθῆναι. *An* ταχθῆναι? Thryllit.

7) δεύτερον ρ) Noſtri modo τὸ ρ.

8) ἰάμβου) Noſtri ἰαμβικοῦ.

9) καὶ τίθεται — ἰαμβικοῦ) Deſunt in Vitt. 2 et 3.

10) καλλίστως — ὅτι) Abſunt a Vitt. 2 et 3. ſine dubio a Io. Tzetza omiſſa, ne Lycophron laudaretur. Pro γέγραφεν Vit. 1. et Ciz. ἔγραψεν.

11) πλοιαρίῳ) Vit. 1. et Ciz. πλοίῳ.

12) μυθικῶς) Addunt Vit. 1. et Ciz.

13) ὁ μῦθος) Abeſt νῦν, bene, a Vit. 1. et Ciz.

σιος [14]) στρατηγὸς, παρ' Ἀστερίου [15]), τοῦ καὶ Μινωταύρου, βασιλέως Κρήτης, πεμφθεὶς, ἀφήρπασεν αὐτὴν ἐκ τῆς Σαραπίας, πόλεως Φοινίκης, μεταξὺ Σιδῶνος καὶ Τύρου κειμένης.

1300. Δικταῖον] Δίκτη καὶ Ἴδη, ὄρη Κρητικά. Ἔστι δὲ Δίκτη καὶ Ἴδη ὄρη [16]) Τροίας, ὡς καὶ Ἄρατός φησι περὶ τῆς ἐν Κρήτῃ Ἴδης·

Δίκτῃ ἐν εὐώδει, ὄρεος σχεδὸν Ἰδαίοιο.

1301. Κρήτης Ἀστερίῳ στρατηλάτῃ] Ὁ Ἀστέριος! οὗτός ἐστιν ὁ καὶ Μινώταυρος. Εἶχε δὲ, ὥς φασι [1]), ταύρου πρόσωπον. Ἦν δὲ Πασιφάης υἱὸς, γεννηθεὶς αὐτῇ ὑπὸ Μίνωος καὶ ταύρου [2]), ὃν Δαίδαλος [3]) ἐποίησεν. Ἢ τὸ ἀληθὲς, ὑπὸ Ταύρου τοῦ στρατηγοῦ· ᾧ καὶ ὅμοιος ὢν, ἐμυθεύθη, ταύρου πρόσωπον ἔχειν. Οὗτος δὲ ὁ Λυκόφρων τὸν Ἀστέριον Δία πατέρα εἶναι λέγει τοῦ Σαρπηδόνος, Μίνωος καὶ Ῥαδαμάνθυος.

1302 — 08. Οὐδ' οἵ γ' ἀπηρκέσθησαν] Οὐδὲ οἱ Κρῆτες, Ἕλληνες ὄντες [4]), ἠρκέσθησαν τιμωρησάμενοι [5]) τοὺς βαρβάρους, καὶ ἀντὶ τῆς Ἰοῦς τὴν Εὐρώπην ἁρπάξαντες [6])· ἀλλὰ καὶ ἔστειλεν εἰς ἀποικίαν περὶ τὴν Τροίαν Τεῦκρον καὶ Σκάμανδρον [7]), οὗ Σκαμάνδρου θυ-

14) κνώσσιος) Vitt. 2 et 3. κνωσσοῦ.

15) παρ' Ἀστ.) Vitt. 2 et 3. pro παρὰ Ἀστ. Vit. 1. et Ciz. male περὶ Ἀστ.

16) ἔστι — ὄρη) Vit. 1. et Ciz. pro ἔστι δὲ καὶ ἴδη ὄρος, bene: respondet vers. Arati in Phaenom. 33. Deinde nostri cum Seb. Δίκτῃ pro Δίκτῳ in vers. Arati.

1) ὥς φασι) Apollod. III, 1, 4, cf. Io. Tzetz. Chil. 1. fab. 19.

2) καὶ ταύρου) Vit. 1. et Ciz. κενταύρου, rectene?

3) Δαίδ.) A Ciz. et Vit. 1. abest art. ὁ.

4) ὄντες) Deest in Vitt. 2 et 3.

5) τιμωρησ.) Vit. 1. et Ciz. τιμωρούμενοι, qui quoque seq. καὶ tollunt.

6) ἁρπάξ.) Vitt. 2 et 3. ἁρπάσ.

7) καὶ σκάμ.) Vit. 3. ἢ σκ.

γατέρα γήμας ὁ Δάρδανος, γεννᾷ τοὺς ἐμοὺς προγόνους. Πῶς οὖν 8); ἐπεὶ μᾶλλον τούτων 9) συγγενῆ ἔλαβεν ὁ Δάρδανος, καὶ οὐ παρ' αὐτῶν ἀφῃρέθη, ὥς φησιν ὁ Λυκόφρων· Οὐδ' οἵ γ' ἀπηρκέσθησαν, ἀλλ' ἔστειλαν στρατόν. Πρὸς τοῦτο ἀποβλέψας ὁ Λυκόφρων, εἶπε γὰρ 10), ὅτι περὶ Τροίαν ἐλθόντες, ἀποίκους 11) ἐστείλαντο, καὶ ἔκτισαν τὸ Σμίνθιον· τὴν γὰρ ἐπιγαμίαν ἑκοντὶ ἐποιήσαντο. Ἡ δὲ ἱστορία οὕτως ἔχει· Τεῦκρος υἱὸς ἦν Σκαμάνδρου τοῦ Κρητός. Οἷς 12) ἐδόθη χρησμὸς, ἐκεῖ οἰκῆσαι, ἔνθα γηγενεῖς ἐπίθωνται αὐτοῖς. Περὶ δὲ τὰ τῆς Ἰλίου μέρη 13) γενόμενοι, βρωθέντων νύκτωρ ὑπὸ μυῶν 14) τῶν ὀχέων 15) τῶν ἀσπίδων καὶ τῶν νευρῶν τῶν τόξων αὐτῶν, μνησθέντες τοῦ χρησμοῦ 16), ἔκτισαν τὸ Σμίνθιον, καὶ ἱερὸν Σμινθίου Ἀπόλλωνος (οἱ γὰρ μύες 17) παρὰ Κρησὶ σμίνθιοι 18) καλοῦνται). Κτίσαντες δὲ τὴν πόλιν, κατῴκησαν ἐκεῖ, καὶ ἐβασίλευσε Τεῦκρος, ἀφ' οὗ καὶ Τεῦκροι 19) οἱ Τρῶες, ὡς καὶ Καλλίμαχος 20)·

Τεύκρων ἡνίκα νῆες Ἀχαιῶν ἄστεα κῆδον 21).

8) πῶς οὖν vsque ad οὕτως ἔχει absunt a Vit. 1. et Ciz. Sunt Io. Tzetzae.

9) τούτων) Vitt. 2 et 3. τούτου, et hinc αὐτοῦ pro αὐτῶν.

10) εἶπε γὰρ, ὅτι) Pro εἶπε πρὸς τὸ, ὅτι, Vitt. 2 et 3. bene.

11) ἐλθόντες, ἀποίκους) Vitt. 2 et 3. pro ἀπελθόντες ἀποικίαν.

12) οἷς) Sic Vit. 1. et Ciz. τούτοις Vitt. 2 et 3. pro τούτῳ, recte: infra μνησθέντες τοῦ χρησμοῦ.

13) τὰ — μέρη) Pro τὸ — μέρος nostri.

14) ὑπὸ μυῶν) Negligentia librarii in Vit. 1. et Ciz. exciderunt.

15) τῶν ὀχέων) Vit. 1. et Ciz. cum glossa τῶν ὀχέων, λώρων.

16) μνησθ. τ. χρησ.) Nostri non agnoscunt.

17) μύες) Vit. 1. et Ciz. μῦες.

18) σμίνθιοι) Nostri pro σμίνθοι, cff. Strab. XIII, p. 613. ibique Tzsch. et Villois. ad Apollon. Lex. f. v. σμινθεῦ, vbi etiam σμίνθιοι, et de Apolline Sminthio Amm. Marcell. XXII, 7.

Ex 1304. Δϱαυκίῳ] Κϱητικῷ· Δϱαύκη γὰϱ πόλις Κϱήτης.

Ex 1305. Εἰς Βεβϱύκων] Τῶν Τϱώων [1]). Βέβϱυκες γὰϱ, νῦν οἱ Μυσοὶ, ἐνδότεϱοι Βιθυνῶν ὄντες, ὧν ὄϱος Ὄλυμπος. Εἰσὶ δὲ καὶ ἕτεϱοι Βέβϱυκες, ἔθνος Γαλατῶν, μεταξὺ Πειϱήνης, καὶ Κεϱαυνίων ὀϱῶν [2]), καὶ Ἰβηϱίας κείμενον, οἳ καλοῦνται Ναϱβωνήσιοι [3]).

Ex 1306. Ὧν ἀπὸ σποϱᾶς] Ἀϱίσβη, ἤ, κατά τινας, Βάτεια, θυγάτηϱ τοῦ Τεύκϱου, τοῦ Κϱητὸς, ἣν ἔγημε Δάϱδανος, ἀφ' ὧν γέγονε Ἐϱιχθόνιος [4]). Τϱῶα δ' Ἐϱιχθόνιος, Τϱὼς δὲ [5])Ἶλον, Ἀσσάϱακον, καὶ Γανυμήδην· Ἶλος δὲ γεννᾷ Λαομέδοντα, Λαομέδων Πϱίαμον, Πϱίαμος τὴν Κασσάνδϱαν [6]), καὶ τοὺς αὐτῆς ἀδελφούς.

1309. Καὶ δευτέϱους [7]) ἔπεμψαν] Ὄπισθεν ζήτει, ὅπου πεϱὶ τῶν Ἀϱγοναυτῶν πάντα κατὰ λεπτὸν

ibique interpr. et Euftath. ad Hom. Il. p. 26.

19) τεύκϱοι) Sic noftri cum edd. ante Pott. pro τευκϱοὶ, et mox τεύκϱων pro τευκϱῶν, cf. Heyne ad Apollod. III, 12, 1, p. 326.

20) καλλίμαχ.) In Fragm. p. 389. Spanh. p. 518. Ernefti.

21) κῆδον) Forte κήδουν: Bentley κήδειν: Vit. 1. et Ciz. κήδει. Expungendum autem effe hunc verf. e Fragm. quum fit v. 231. Hymn. in Dian. docet ibi Ruhnken.

1) τῶν τϱώων — ὄλυμπος) Vit. 1. et Ciz. modo: βέβϱυκες οἱ τϱῶες. A Vitt. 2 et 3. vero abfunt βέβϱ. γὰϱ — καὶ ἕτεϱοι.

2) ὀϱῶν) Deeft in Vit. 3.

3) Ναϱβων.) Sic etiam Vit. 1. et Ciz. fed Vitt. 2 et 3. λακωνήσιοι.

4) Ἀϱίσβη — Ἐϱιχθόνιος) Sic Vit. 1. et Ciz. pro: Ἀϱίσβην, ἢ κατά τινας Βάτειαν, θυγατέϱα Τεύκϱου, γήμας Δάϱδανος, γεννᾷ Ἐϱιχθόνιον. Verba vero ἢ κατά τινας Βάτειαν, quae funt Apollodori III, 12, 1. ab iisdem praetermiffa reftituimus.

5) τϱῶα δὲ — λαομέδων) Male exciderunt in Vitt. 2 et 3.

6) κασσάνδϱαν) Hoc modo noftri, fublato Pronomine αὐτὴν, quod vere abundat.

7) καὶ δευτέϱους) Totum hoc fchol. ignorant Vit. 1. et Ciz. vt fere femper, vbi fchol. diligentiam fuam

ἔγραψα, εἰ καὶ βραχύτατα, ὅσα οὐδὲ πεντήκοντα Ἀπολλώνιοι.

1312. Εἰς Κυταίαν τὴν Λιγυστικὴν] Ἡ Κύταια πόλις Κολχίδος, οἱ δὲ 8) Κόλχοι ἔθνος ἐστὶ Λαζικὸν, ὡς ἔφην 9) ὄπισθεν πλατυτέρως, πλησίον Ἀβασγῶν κείμενον. Τὸ δὲ Λιβυστικὸν 10) καὶ τὸ Λιγυστικὸν κλίμα 11) (ὧν τὸ μὲν 12) ἀπὸ Λιβύης, τῆς Ἐπάφου θυγατρὸς, ἐκλήθη· τὸ δὲ ἀπὸ Λίγυος, τοῦ Ἀλεβίωνος 13) ἀδελφοῦ) τῆς Κυρήνης 14), καὶ Καρχηδόνος, καὶ Ἀλεξανδρείας εἰσίν 15). Ταυτό ἐστιν, ὡς ὄπισθεν εἶπον, περὶ τὴν Λιβύην 16). Ὁ δὲ Λυκόφρων οὗτος 17), καινοτομῶν τὰ πολλὰ, τὴν Κολχικὴν Λιγυστικὴν καλεῖ· ὁ δὲ Λίγυς οὗτος, κωλύων Ἡρακλῆ ἐπὶ τὰς Γηρυόνου βοῦς ἐλθεῖν, ἀνῃρέθη. Καὶ κατὰ 18) μὲν τοὺς μὴ εἰδό-

praedicat. Eſt Io. Tzetzae.

8) *κολχίδος, οἱ δὲ*) Abeſt *ἐστὶν* a Vit. 1. et Ciz. hic et poſtea: hic deleuimus.

9) *ὡς ἔφην — κείμενον*) Non reperiuntur in Vit. 1. et Ciz. Videntur eſſe Io. Tzetzae. Vitt. 2 et 3. ſeruant *κείμενοι* pro *κείμενον*, quod Pott. in edit. 2. recepit.

10) *τὸ δὲ λιβυστικὸν*) Noſtri tuentur lectionem vet. *ἡ δὲ λιβύη*.

11) *κλίμα*) Noſtri pro *κλῖμα*, recte.

12) *ὧν τὸ μὲν* vsque ad *καινοτομῶν* deſiderantur omnia in Vitt. 2 et 3. et pro *καινοτομῶν* legunt *καινότομον*, vt iungatur cum *κλίμα*. Vit. 1. et Ciz. habent, ſed vt in edd. ante Seb. *ὃ ἐκλήθη ἀπὸ λίγυος τοῦ ἀλεβ. ἀδελφοῦ*, reliquis omiſſis.

13) *Ἀλεβίωνος*) Forte *Ἀλεξίωνος*, vid. obſeruata ad v. 649. cf. Cluuer. Ital. Antiq. p. 47. vbi Ligurum gentem longe antiquiorem fuiſſe temporibus Herculis oſtendit.

14) *κυρήνης*) Vit. 1. et Ciz. *κυρήνου*. Deinde *καλχηδ.* pro *καρχηδ.* et *ἀλεξάνδρου* pro *ἀλεξανδρείας*.

15) *εἰσίν*) Addunt Ciz. et Vit. 1.

16) *ταυτό — λιβύην*) A Seb. additum Vit. 1. et Ciz. non agnoſcunt.

17) *οὗτος*) Abeſt a Vit. 1. et Ciz.

18) *καὶ κατὰ — περὶ τυρσηνίαν*) Non extant in Vit. 1. et Ciz. Sunt ſine dubio Io. Tzetzae.

τας [19]) διαίρεσιν κλιμάτων, ἀλλὰ τὴν αὐτὴν δοκοῦντας Λιβυστικὴν καὶ Λιγυστικήν. οὕτως εἴπομεν ἔχειν [20])· κατὰ δὲ τὴν ἀκρίβειαν Λιγυστικὰ [21]) μέρη εἰσὶ τὰ περὶ Τυρσηνίαν [22])· οἱ γὰρ Λίγυες τὴν παραλίαν ἀπὸ Τυρσηνίδος [23]) μέχρι τῶν Ἄλπεων, καὶ ἄχρι Γαλατῶν νέμονται, ὥς φασι [24]) Δίων [25]) καὶ ἄλλοι ἀκριβέστατοι [26]) ἱστορικοὶ, συγγραφεῖς τε καὶ γεωγράφοι.

1313. Τετράπνην ὕδρον] Δικέφαλον δράκοντα, ἤτοι δύο ῥῖνας ἔχοντα· αἱ γὰρ δύο ῥῖνες τέσσαρας πνοὰς ἔχουσιν. Ὕδρον δὲ τὸν δράκοντα εἶπεν [1]), εἶδος λαβὼν ἀντὶ εἴδους.

Θρόνοις [2])] Φαρμάκοις τῆς Μηδείας [3]), παρὰ τὸ θο..., θόρωνα καὶ θρόνα.

1315. Καὶ λέβητι δαιτρευθεὶς δέμας] Φασὶν, ὅτι ὁ Ἰάσων ὑπὸ Μηδείας ἐν λέβητι ἑψηθεὶς, πάλιν νέος γέγονεν [4]).

1316. Ἐῤῥάου] Τοῦ κριοῦ. Ὁ δὲ Καλλίμαχος [5]) λέγει τοῦ κάπρου, παρὰ τὸ ὀρούω, τὸ ὁρμῶ.

19) *μὴ εἰδότ.*) Abest *μὴ* a Vitt. 2 et 3.

20) *οὕτως εἴπομεν ἔχειν*) Pro *οὕτως, ὡς εἴπομεν, ἔχει,* Vitt. 2 et 3. bene.

21) *λιγυστ.*) Nostri cum edd. pr. *λιβυστ.* Saepe haec vocc. sunt permutata, vid. ad v. 648.

22) *τὰ περὶ τυρσ.*) Ita Seb. sed nostri *ὥσπερ καὶ εἴπομεν*: edd. vett. *ἅπερ εἴπομεν.*

23) *τυρσηνίδος*) Vitt. 2 et 3. *τυρσηνοῦ*

24) *φασι*) Vit. 1. et Ciz. pro *φησι*, et *ἄλλοι* pro *ἕτεροι*, bene.

25) *Δίων*) In Fragm. T. I, p. 5. ed. Reimari.

26) *ἀκριβ.*) Vit. 3. *ἀκριβέστεροι.*

1) *εἶπεν*) Vit. 1. et Ciz. *καλεῖ.*

2) *θρόνοις*) Carent Vitt. 2 et 3. hoc schol. et reliquis vsque ad v. 1317 *κεραΐδα.*

3) *τῆς Μηδ.*) Non habent Vit. 1. et Ciz.

4) *ὁ Ἰάσων — γέγονεν*) Sic Vit. 1. et Ciz. pro *ἡ Μήδεια τὸν Ἰάσονα ἑψήσασα νέον ἐποίησεν.*

5) *Καλλίμαχ.*) In Fragm. 335, p. 416. Spanh. p. 552. Ernesti.

1317. Ἀλλ' αὐτόκλητον[6)]] Ηὐτομόλησε γὰρ καὶ ἡ Μήδεια πρὸς τὸν Ἰάσονα.

Κεραΐδα] Τὴν Μήδειαν νῦν λέγει[7)]· κεραῒς γὰρ ὄρνεον μικρότατον, κατωφερὲς[8)] πρὸς συνουσίαν. Κεραΐδα δὲ ταύτην καλεῖ, παρ' ὅσον κατέτηξεν ἑαυτὴν διὰ τὴν λύπην τῆς ἑτερογαμίας τοῦ Ἰάσονος.

1318. Τὴν γνωτοφόντιν καὶ τέκνων ἀλάστορα] Τὴν ἀνελοῦσαν καὶ φονεύσασαν[9)] τὸν ἀδελφὸν αὐτῆς Ἄψυρτον· ἡ γὰρ Μήδεια[10)] φυγοῦσα, καὶ διωκομένη παρὰ τοῦ πατρὸς, τὸν Ἄψυρτον τοῦτον λαβοῦσα, ἀνεῖλεν. Ὕστερον δ' ἐν Κορίνθῳ καὶ τοὺς ἐξ Ἰάσονος αὐτῆς παῖδας Μέρμερον καὶ Φέρητα, διὰ τὴν πρὸς Ἰάσονα ζηλοτυπίαν, ὅτι ἀπολιπὼν αὐτὴν, ἔγημε Γλαύκην, τὴν θυγατέρα Κρέοντος, τοῦ βασιλέως τῆς Κορίνθου[11)].

1319. Εἰς τὴν λάληθρον κίσσαν] Τὴν Ἀργὼ λέγει, ὅτι ἡ τρόπις αὐτῆς ἐκ τῆς Δωδωναίας δρυὸς ἦν, φωνήεσσα καὶ λάλος[12)]. Κίσσαν δὲ αὐτὴν καλεῖ, ἐπειδὴ τὸ ὄρνεον, ἡ κίσσα[13)], μιμητικόν[14)] ἐστι φωνῆς ἀνθρωπίνης, ὡς καὶ ἡ Ἀργώ. Πάντα δὲ προέγραψα[15)].

1322. Πάλιν δ' ὁ πέτρας ἀσκέρας] Τὴν περὶ[1)] Θησέως, καὶ τοῦ ξίφους, καὶ τῶν ὑποδημάτων τοῦ Αἰ-

6) Ἀλλ' αὐτόκλ. — Ἰάσονα) Desunt quoque in Vit. 1. et Ciz.

7) τὴν Μήδ. — λέγει) Ponuntur in Vit. 1. et Ciz. post συνουσίαν, seqq. vero κεραΐδα δὲ — omissis.

8) κατωφερὲς — Ἰάσονος) Vitt. 2 et 3. non exhibent.

9) καὶ φονεύσ.) Abest a nostris: e glossa est.

10) ἡ γὰρ Μήδ. — ἀνεῖλεν) Non reperiuntur in nostris.

11) τοῦ βασ. — Κορίνθου) Ignorant nostri.

12) λάλος) Cf. *schol. Apollonii p.* 132, *b.* Thryllit.

13) ἡ κίσσα) Non est in Vit. 1. et Ciz.

14) μιμητικόν) Vitt. 2 et 3. μιμητική.

15) πάντα — προέγραψα) Absunt haec, quae Io. Tzetzae esse videntur, a Vit. 1. et Ciz. vt ab edd. ante Pott. Vitt. 2 et 3. habent.

1) τὴν περὶ vsque ad v. 1324. Vit. 1. et Ciz. haec

γέως, τῶν ὑπὸ τὴν καλουραίαν πέτραν, ἱστορίαν εἶπον πρότερον. Κολουραίαν γὰρ αὐτὴν ὁ Καλλίμαχος καλῶν, λέγει 3)·

> Ἐν γάρ 4) μιν Τροιζῆνι κολουραίῃ ὑπὸ πέτρῃ 5)
> Θῆκε σὺν ἀρπίδεσσιν . . . . .

Ἀσκέρας] Εἶπον ὄπισθεν, ὅτι τὰ περὶ τοὺς πόδας πιλία, ἤτοι τὰ ὀρτάρια, λέγεται 6)· ὁ δὲ Λυκόφρων τὰ ὑποδήματα λέγει.

1324. Ὁ Φημίου παῖς] Ἀντὶ τοῦ Φημιάδης 7)· κατὰ τοῦτον γὰρ ὁ Φημίου 8) παῖς Θησεύς. Αἰγεὺς γὰρ 9) Φημίου παῖς ἦν, Αἰγέως δὲ Θησεύς. Καὶ ὅτι μὲν Αἰγέως καὶ Αἴθρας ἦν 10) υἱὸς ὁ Θησεὺς, ἀληθές· ὁ δὲ Αἰγεὺς Πανδίονος υἱὸς ἦν, ἀλλ' οὐ Φημίου.

Σκύρος] Ἡ Σκύρος ἐστὶ νῆσος 11) μία τῶν Κυ-

tantum praebent: ἡ περὶ Θησέως καὶ τοῦ ξίφους Αἰγέως ἱστορία ἐῤῥέθη, supra ad v. 494.

3) κολ. γὰρ — καλῶν, λέγει) Sic Vitt. 2 et 3. pro: κολ. δὲ, ὅτι οὕτως — καλεῖ, λέγων, melius, nam vix credibile est, Tzetzen ideo dixisse κολουραίαν, quia Callimachus sic dixerit: cf. Callimach. Fragm. p. 322. Spanh. et p. 438. Ernesti. Bentley putat, hoc fragmentum ad Hecalen pertinere, cuius argumentum fuerit Theseus ab Hercule hospitio exceptus.

4) ἐν γάρ) Nostri ἔργα, vt supra ad v. 494. Hemsterhus. vult legi: Ἄορά μιν.

5) πέτρῃ) Nostri πέτρᾳ.

6) λέγεται) Vitt. 2 et 3. λέγονται.

7) Ἀντὶ — Φημιάδ.) Desunt in Vitt. 2 et 3.

8) ὁ Φημίου) Ita quoque Vitt. 2 et 3. sed Ciz. et Vit. 1. cum edd. ante Potter. 2. ὁ Φημιάδου, cf. Heyne in Obseruatt. ad Apollod. p. 342.

9) Αἰγεὺς γὰρ — Θησεύς) Sic Vit. 1. et Ciz. pro φασὶ γὰρ, τὸν Αἰγέα Φημίου εἶναι παῖδα, Αἰγέως δὲ Θησέα. Haec sunt alterius, illa vero primae recensionis.

10) ἦν) Vit. 1. et Ciz. addunt, omisso tamen ὁ υἱός.

11) ἡ Σκύρ. — νῆσος) Pro νῆσός ἐστιν ἡ Σκ. nostri, aptius.

κλάδων, ἧς ἐβασίλευσε Λυκομήδης, Δολόπων [12]) τὴν νῆσον οἰκούντων. Ἐν γοῦν τῇ Σκύρῳ ταύτῃ Θησεὺς ἢ ἀγροὺς ἔχων [13]), κατὰ Πλούταρχον [14]), καὶ φιλίαν πρὸς τὸν Λυκομήδην [15]), φοβηθεὶς δὲ [16]) διὰ τὴν ἁρπαγὴν τῆς Ἑλένης καὶ τὴν κατ' αὐτοῦ ἐκστρατείαν τῶν Διοσκούρων, ἦλθε πρὸς Λυκομήδην, καὶ διέτριβε περὶ τὴν νῆσον. Ἢ, κατά τινας, ὅτι ὑπόνοιαν [17]) παρέσχεν, ὅτι μέλλει τυραννεῖν ἐν Ἀθήναις. Ἢ, καθ' ἑτέρους, ὅτι ὑπὸ Λύκου, τοῦ Αἰγέως ἀδελφοῦ, ἢ διὰ τὸν φόνον [18]) τῶν Παλλαντίδων, ἢ διὰ τὴν Ἱππολύτου ἀναίρεσιν, ἐξώσθη τῶν Ἀθηνῶν, καὶ οὕτως φυγὰς [19]) ἦλθεν εἰς Σκῦρον. Κἀκεῖ δὲ νεωτεριζόμενον ὁ Λυκομήδης αὐτὸν ὑποπτεύσας [20]) καὶ δειλιάσας περὶ τῆς ἀρχῆς, ἐναγαγὼν ἐπί τινα λόφον, καὶ δῆθέν τινα ὑποδεικνὺς [21]), κατεκρήμνισε καὶ ἀνεῖλεν αὐτόν [22]).

1327 — 28. Σὺν θηρὶ βλώξας] Πάλιν ὁ Ἡρακλῆς ἐλθὼν [1]) εἰς τὴν Σκυθίαν πρὸς τὰς Ἀμαζόνας, δι-

12) Δολόπων) Vit. 1. et Ciz. perperam Δολόσσων.

13) ἀγροὺς ἔχων) Sic Vit. 1. et Ciz. ſublata part. ἢ, quam Vitt. 2 et 3. tuentur.

14) πλούταρχ.) Theſ. c. 35.

15) πρὸς τὸν λυκομ.) Plutarch. οὔσης αὐτῷ πρὸς τοὺς ἐκεῖ φιλίας.

16) φοβ. δὲ) Pro καὶ φοβ. Vitt. 2 et 3. recte.

17) ὅτι ὑπόν.) Vitt. 2 et 3. delent ὅτι, Thryllit. putat, recte, quod vero ob repetitum poſtea ὅτι diſplicet.

18) φόνον) Noſtri, excepto Ciz. φόβον, vt edd. ante Pott. minus recte, nam, auctore Pottero, Theſeus Pallantem, eiusque filios deuictos occiderat, vt teſtantur Plutarch. Pauſanias, Euripides et alii.

19) φυγὰς) Noſtri ignorant, vt poſtea νεωτεριζόμενον.

20) ὑποπτεύσ.) Pro ἰδὼν noſtri cum Sebaſt.

21) τινα ὑποδεικ.) Sic quoque noſtri cum reliquis Codd. MſT. forte excidit χωρία, nam Plutarch. ἐπὶ τὰ ἄκρα τῆς χώρας ἀναγαγὼν αὐτὸν, ὡς ἐκεῖθεν ἐπιδείξων τοὺς ἀγροὺς, ſcl. αὐτοῦ.

22) αὐτόν) Ponunt Vit. 1. et Ciz. poſt κατεκρήμνισε.

1) πάλιν ὁ Ἡρ. ἐλθὼν) Vit. 1. et Ciz. pro παλ. ὁ Θησεὺς

πλοῦν παρεσκεύασε νεῖκος εἰς τοὺς Ἕλληνας, διὰ τὸν Ἱππολύτης ζωστῆρα, καὶ Ἀντιόπην τὴν Ἀμαζόνα, ἐξ ἧς Θησεὺς ἔσχεν Ἱππόλυτον. Ἡ δὲ ἱστορία τοιαύτη· Ἀδμήτη 2), ἡ Εὐρυσθέως θυγάτηρ, ἐπεθύμησε τὸν Ἱππολύτης κτήσασθαι ζωστῆρα· καὶ δὴ ἐνὶ πλοίῳ 3) Ἡρακλῆς μετά τε Θησέως καὶ ἑτέρων εἰς Θεμισκύρας 4) λιμένα κατέπλευσε 5), καὶ παραγενομένη 6) εἰς αὐτὸν Ἱππολύτη, καὶ τίνος ἕνεκα ἥκει πυθομένη, τὸν ζωστῆρα αὐτῷ 7) ὑπέσχετο δοῦναι. Ἥρα 8) δὲ, μιᾷ τῶν Ἀμαζόνων εἰκασθεῖσα, τὰς λοιπὰς περιφοίτα, λέγουσα τὴν βασιλίδα Ἱππολύτην ἁρπάξαι τοὺς προσελθόντας ξένους. Ἐνόπλων 9) δὲ αὐτῶν ὡς πρὸς μάχην κατελθουσῶν, Ἡρακλῆς ἀντιταξάμενος κτείνει τὴν Ἱππολύτην, καὶ τὸν ζωστῆρα λαβὼν, Εὐρυσθεῖ καὶ τῇ θυγατρὶ αὐτοῦ ἀποκο-

---

σὺν τῷ Ἡρακλεῖ ἐλθὼν, recte, nam πάλιν nullo modo cadit in Theseum, forte leg. ὁ Ἡρακλῆς σὺν τῷ Θησεῖ: cf. omnino Heyne Obseruu in Apollod. p. 156.

2) Ἀδμήτη) Cf. Io. Tzetz. Chil. II, 310.

3) πλοίῳ) Vitt. 2 et 3. πλόῳ.

4) Θεμισκύρας) Vit. 1. et Ciz. Θεμισκύρᾳ, forte τὸν ἐν Θεμισκύρᾳ, vt Apollod. II, 5, 9. vnde haec et sqq. hausta sunt. Io. Tzetz. in Chil. l. l. πρὸς τὴν Θεμίσκυραν.

5) κατέπλ.) Vt Apollod. l. l. et Io. Tzetz. in Chil. πλεύσας pro ἦλθε, quod nostri cum edd. ante Seb. seruant.

6) παραγ. εἰς αὐτὸν — πυθομένη) Nostri, vt edd. ante Seb. modo Ἱππολύτη. Videntur, quum absint a Codd. antiquissimis, a recentioribus glossatoribus illata ex Apollodoro.

7) τὸν ζωστ. αὐτῷ) Vitt. 2 et 3. τοῦτον τὸν ζωσ. omisso voc. αὐτῷ, vel τούτῳ, vt edd. pr.

8) Ἥρα — ξένους) Haec a Seb recepta pro: Ἥρα δὲ ὁμοιωθεῖσα γυναικὶ, ταῖς λοιπαῖς Ἀμαζόσιν ἔλεγεν, ἁρπάξαι τὴν Ἱππολύτην, vt nostri cum editt prioribus habent. Vit. 1. et Ciz. addunt καὶ τὸν ζωστῆρα αὐτοῦ. Mihi videntur in Codd. recentioribus ex Apollodoro recepta.

9) Ἐνόπλων vsque ad Σπόσαντι desunt in Vit. 1. et Ciz. A Io. Tzetza videntur addita.

μίζει. Καὶ Ἀπολλόδωρος [10]) μὲν καὶ λοιποὶ ἀναιρεθῆναί φασιν ὑφ' Ἡρακλέους τὴν Ἱππολύτην· Ἀπολλώνιος [11]) δὲ οὕτω φησί·

Γνάμψαν Ἀμαζονίδων ἕκαθεν λιμενήοχον ἄκρην,
Ἔνθα ποτὲ προμολοῦσαν Ἀρητιάδα [12]) Μεναλίππην
Ἥρως Ἡρακλέης ἐλοχήσατο· καί οἱ ἄποινα
Ἱππολύτη [13]) ζωστῆρα παναίολον ἐγγυάλιξεν
Ἀμφὶ κασιγνήτης [14])· ὁ δ' ἀπήμονα πέμψεν ὀπίσσω.

Ἕτερος δέ τις ὅμοια τοῖς προτέροις φησί [15])·

. . . . . . Τελαμὼν ἀκόρητος αὐτῆς
Ἡμετέροις ἑτάροισι [16]) φόως πρώτιστος [17]) ἔθηκε,
Κτείνας ἀνδρολέτειραν ἀμώλητον Μεναλίππην [18]),
Αὐτοκασιγνήτην χρυσοζώνοιο ἀνάσσης.

Σπάσαντι [19]) μαστόν [20])] Μεταλαβόντι καὶ θηλάσαντι· ἐθήλασε γὰρ Ἡρακλῆς τὴν Ἥραν παῖς ὤν, Ἀθηνᾶς ἀραμένης αὐτὸν, καὶ πεισάσης τὴν Ἥραν θηλάσαι αὐτόν· διὸ καὶ ἀπηθανατίσθη [21]).

Δηΐας] Τῆς Ἥρας· πολεμία γὰρ ἦν τῷ Ἡρακλεῖ.

10) Ἀπολλόδ.) II, 5, 9.

11) Ἀπολλών.) II, 965 sqq.

12) Ἀρητιάδα) Pro Ἀρητάδαν cum Seb. Vitt. 2 et 3.

13) Ἱππολύτη) Nostri Ἱππολύτης.

14) ἀμφὶ κασ.) Nostri αὐτοκασιγνήτην, vt postea in versu auctoris incerti

15) φησί) *Hi verss. leguntur in schol. Pindari ad Nem. III, 64. Thryllit.*

16) ἑτάροισι) Vit. 2. ἑταίροισι: Vit. 3. ἑταίροις, non bene.

17) πρώτιστος) Vitt. 2 et 3. πρώτιστον.

18) Μεναλίπ.) Vit. 2. Μελανίπ. vt schol. Pindari: Vit. 3. Μελίππην, vitiose.

19) σπάσαντι) Id schol. Vit. 1. et Ciz. cum Seb. hoc loco, sed Vitt. 2 et 3. eo, quo vulgata, exhibent. Plura vero etiam a Seb. hic sunt transposita, quae nostri Codd. non transponunt.

20) μαστόν) Addunt nostri cum Seb. sed καὶ a Seb. post μεταλαβόντι illatum non agnoscunt.

21) διὸ — ἀπηθαν.) Abest a nostris.

Μύστη] Τῷ Ἡρακλεῖ, διότι ἐμυήθη ἐν Ἐλευσῖνι 22) τὰ δι᾽ αὐτὸν 23) λεγόμενα μικρὰ 24) Μυστήρια. Εὔμολπος γὰρ, οὐχ ὁ Θρᾲξ, κατὰ Ἴστρον 25), ἀλλ᾽ ὁ θεὶς τὰ Μυστήρια, ἐκέλευσε ξένους μὴ μυεῖσθαι. Ἐλθόντος δὲ τοῦ Ἡρακλέους ἐν Ἐλευσῖνι 26), καὶ θέλοντος μυεῖσθαι, τὸν μὲν τοῦ Εὐμόλπου νόμον φυλάττοντες, βουλόμενοι 27) δὲ καὶ τὸν κοινὸν εὐεργέτην Ἡρακλέα θεραπεῦσαι οἱ Ἐλευσίνιοι, ἐπ᾽ αὐτῷ τὰ μικρὰ ἐποιήσαντο Μυστήρια. Οἱ δὲ μυούμενοι μυρσίνῃ ἐστέφοντο.

Τροπαίας] Τῆς Ἥρας 28), παρ᾽ ὅσον καὶ αὐτῇ οἱ νικῶντες, ὥσπερ τῷ Διΐ, τρόπαιον ἀνετίθεσαν 29).

Μαστὸν] Μασθὸς μὲν διὰ τοῦ σθ 30), ὁ ἀνδρεῖος, παρὰ τὸ μὴ ἐσθίεσθαι· μαστὸς δὲ διὰ τοῦ στ, ὁ γυναικεῖος, παρὰ τὸ μεστὸς εἶναι γάλακτος 31).

1329. Ζωστηροκλέπτης] Οὗτος τὸν Θησέα φησὶ λαβεῖν τὸν ζωστῆρα τῆς Ἱππολύτης, καὶ δοῦναι τῷ Ἡρακλεῖ· αὐτὸς δὲ ἔλαβε τὴν Ἱππολύτην, κατὰ τοῦτον τὸν

22) ἐν Ἐλευσῖνι) Ciz. et Vit. 1. τὰ ἐλευσίνια, non male. cf. Apollod. II, 5, 12, §. 2. et Io. Tzetz. Chil. II, 394.

23) δι᾽ αὐτὸν) Vitt. 2 et 3. δι᾽ αὐτοῦ, quod repugnat ſqq. ἐπ᾽ αὐτῷ ἐποιήσαντο.

24) μικρὰ) Vitt. 2 et 3. μυθικὰ, perperam.

25) κατὰ Ἴστρον) Ciz. et Vit. 1. κατὰ τὸν Ἴστ. ἐν τῇ συναγωγῇ, putat Sebaſt. τῶν κρητικῶν θυσιῶν, cf. Voſſ. de Hiſt. Gr. p. 384.

26) ἐν Ἐλευσ.) Abeſt a Vit. 1. et Ciz.

27) βουλόμενοι) Vit. 1. et Ciz. pro θέλοντες, ſed ſeq. Ἡρακλέα omittunt.

28) τῆς Ἥρας) Noſtri τῆς αὐτῆς, et hinc τῇ Ἥρᾳ pro καὶ αὐτῇ, quia hoc ſchol. excipit ſchol. Δηΐας.

29) ἀνετίθεσαν) Noſtri pro ἀνετίθεντο.

30) διὰ τοῦ σθ et διὰ τοῦ στ, a Seb. addita, noſtri non addunt.

31) παρὰ τὸ μεστὸς — γάλ.) Vit. 1. et Ciz. vt Ammon. de Adfin. Vocc. differentia, pro ὁ μεστὸς ὢν γάλακτος. Idem, quod h. l. Tzetzes tradit de differentia horum vocabulorum, ſchol. ad Eurip. Hecub. 144. quam vero lepide perſtringit ibi Brunk, cf. omnino Valkenar. et Ammon editor ad Ammonii μαστὸς, et Porſon ad Euripid. Hec. l. l.

Λυκόφρονα [1]), ἐξ ἧς ἔσχε τὸν σώφρονα [2]) Ἱππόλυτον. Μετὰ δὲ θάνατον αὐτῆς ἔλαβε Φαίδραν [3]), ἥτις ἤρα τοῦ Ἱππολύτου, καὶ μὴ ἰσχυούσης [4]) σχεῖν τοῦτον, ᾠκοδόμησε ναὸν [5]) τῇ Ἀφροδίτῃ, Ἐρωτικὸν αὐτὸν καλέσασα. Εἶτα διὰ τὸ πολὺν ἔρωτα ἔχειν αὐτὴν, εἰς νόσον περιέπεσε, καὶ τῆς τροφοῦ αὐτῆς οὐ μικρῶς ἀναγκασάσης αὐτὴν εἰπεῖν, μετά τινα χρόνου ἀνήγγειλεν. Ἡ δὲ φαρμάκοις βουλομένη λῦσαι [6]) τὸν ἔρωτα αὐτῆς, καὶ μὴ δυναμένη, εἰςῆλθε πρὸς τὸν Ἱππόλυτον, κἀκεῖνος δὲ μὴ δεξάμενος τὸ ταύτης ῥῆμα, ἀπεδίωξε μετ' ὀργῆς. Ὁ δὲ Φαιδρα [7]) γνοῦσα, ἑαυτὴν ἀπέπνιξεν. Ἡμεῖς [8]) δὲ ὄπισθεν ἀρκούντως εἴπομεν. Νῦν δὲ τοῦτο μόνον λέξομεν, ὅτι Θησεὺς ἐξ Ἀντιόπης τὸν Ἱππόλυτον ἔσχεν, οὐκ [9]) ἐξ Ἱππολύτης. Ἐκείνη μὲν γὰρ ἡ ἀπελύθη, λαβόντος Ἡρακλέους τὸν ζωστῆρα παρὰ Μεναλίππης, τῆς αὐτῆς [10]) ἀδελφῆς. Ἡ Ἱππολύτη μὲν ἀνηρέθη παρ' Ἡρακλέους· Μεναλίππη δὲ παρὰ τοῦ Τελαμῶνος.

1) *κατὰ — Λυκόφρ.*) Absunt a Vit. 1. et Ciz.

2) *σώφρονα*) Non habent Vitt. 2 et 3. Eudocia vero p. 411. concinit: *ἡ ἐρῶσα τοῦ σώφρονος Ἱππολύτου.*

3) *Φαίδραν*) Sic quoque Vit. 1. et Ciz. pro *Φαῖδραν*, et postea *Φαίδρα* etiam pro *Φαῖδρα*, recte. Caeterum in Vitt. 2 et 3. sicut in Codd. Potteri *μετὰ δὲ* — vsque ad *ἀπέπνιξεν* non reperiuntur.

4) *ἰσχυούσης*) Vit. 1. et Ciz. pro *ἰσχυσάσης*, quod Potter. pro vet. lectione corrupta *ἰσχυάσης* attulit.

5) *ναὸν*) Cf. schol. ad Eurip. Hippol. 24. et Diod. Sic. IV, 62, ed. Wessel. T. I, p. 306, et supra ad v. 449 et 610.

6) *λῦσαι*) Pro *λῦσαι* Ciz. et Vit. 1.

7) *ὁ δὲ Φαίδρα*) Nostri, vt edd. ante Seb. *ἡ δὲ Φαίδ.*

8) *ἡμεῖς — εἴπομεν*) A Seb. additum Vitt. 2 et 3. comprobant, bene, quia totam mox traditam historiam omittunt, sed Vit. 1. et Ciz. non praebent, non minus bene, quia rem totam iam enarrant, etsi ob sqq. *νῦν δὲ τοῦτο* ea retinenda putem.

9) *οὐκ*) Pro *οὐχὶ* nostri.

10) *αὐτῆς*) Vitt. 2 et 3. *αὐτοῦ*, perperam.

1330. Θεμισκύρας] Θεμίσκυρα [11]) πόλις Παφλαγόνων [12]) καὶ Ἀμαζόνων, ἔνθα Θεμισκύρειαι [13]) αἱ Ἀμαζόνες ὀνομάζονται [14]).

1331. Τὴν τοξοδάμνον] Οἱ μὲν ἄλλοι πάντες προπαροξυτόνως [1]) τοξόδαμνον γράφουσιν [2]), ἐγὼ δὲ παροξυτόνως. Τὰ γὰρ προπαροξύτονα πάθος [3]) δηλοῦσιν, οἷον, τοξόδαμνον, τὴν δαμαζομένην ὑπὸ τόξων. Τοξοδάμνον δὲ, τὴν δαμάζουσαν [4]) τόξοις. Λέγει δὲ οὗτος [5]) τὴν Ἱππολύτην.

Ὀρθωσίαν] Ὀρθωσία, ἡ Ἄρτεμις, ἀπὸ Ὀρθωσίου, ὄρους Ἀρκαδίας [6]), ὡς τιμωμένη ἐκεῖσε. Ἢ ὡς ἐπορθοῦσα [7]) τὰς τικτούσας· μαιεύτρια γὰρ ἡ θεός. Φημὶ γοῦν οὕτως ἐγώ· Τὴν τοξικὴν Ἀντιόπην, ἤ, κατὰ τοῦτον, τὴν Ἱππολύτην [8]), στερήσας τὴν Ὀρθωσιαν

11) Θεμίσκυρα) Sic nostri, Strab. XII, p. 547, Steph. et reliqui Graeci ac Latini. Creuzer vero in Fragm. Hist. Gr. Ant. p. 81. ex Hecataeo Θερμισκύρη, an recte, ipse viderit, quum Steph. ad χαδισία (χαδησία), vnde hunc locum Hecataei attulit, legat quoque Θεμισκύρη: cf. omnino Tzsch. ad Pomp. Mel. Vol. III, P. I, p. 602.

12) Παφλαγ.) Sic etiam Vitt. 2 et 3., verum Vit. 1. et Ciz. cum edd. pr. Παφλαγονίας.

13) Θεμισκύρειαι) Sic quoque Apollon. II, 995.

14) ὀνομάζονται) Pro λέγονται Vit. 1. et Ciz. Mire Vitt. 2 et 3. ὡπλίζοντο, haud dubie corruptum ex ὀνομάζονται.

1) προπαρ.) Nostri cum Seb. pro προπαροξύτονον.

2) γράφ.) Vit. 3. λέγουσιν: Vitt. 1 et 2. omittunt.

3) πάθος) Vitt. 2 et 3. πάθη.

4) δαμάζουσαν) Vit. 1. et Ciz. δαμοῦσαν.

5) οὗτος) Vit. 2. οὕτως.

6) Ἀρκαδίας) Nostri pro Ἀρκαδικοῦ. Sic quoque schol. Pind. Ol. III, 54, vbi eadem narrat.

7) ὡς ἐπορθοῦσα) Sic quoque Vit. 1. et Ciz. πορθούση Vitt. 2 et 3. vitiose. Sed etiam verbum ἐπορθόω est a Lexicis alienum. Schol. Pind. l. l. ἡ ὀρθοῦσα τὰς γυναῖκας, vnde dic. quoque Orthia. Fors. legendum ἐστὶν ὀρθοῦσα, cf. Meurs. in Comment. ad h. l.

8) τὴν Ἱππ.) Vitt. 2 et 3. inepte τὸν Ἱππόλυτον.

Ἄρτεμιν 9), ὡς φιλουμένην ὑπ' αὐτῆς, ὅτι τοξική. Τινὲς δὲ καὶ τὴν Ὀρθωσίαν τῆς Ἀντιόπης καὶ Ἱππολύτης 10) ἐπωνύμως φασίν.

1332. Ἧς αἱ ξύναιμοι, παρθένοι Νεπτουνίδες] Νεπτουνὶς 1) ἡ Ἀμαζὼν αὕτη 2) ἐκαλεῖτο, ἀφ' ἧς καὶ αἱ λοιπαὶ Ἀμαζόνες Νεπτουνίδες 3) καλοῦνται. Ἐπεστράτευσαν δὲ αὗται 4) τῇ Ἀττικῇ, καὶ νικηθεῖσαι, ὑπέστρεψαν εἰς Σκυθίαν 5). Καὶ οὗτος μὲν διὰ τὸν ζωστῆρά φησιν αὐτὰς ἐπὶ τὰς Ἀθήνας στρατεῦσαι· Ἑλλάνικος 6) δὲ ὁ Λέσβιός φησιν, ὅτι παραγέντος τοῦ Κιμμε-

9) τὴν — Ἄρτεμιν) Nostri pro τῆς Ὀρθωσίας Ἀρτέμιδος, recte, vti docet seq. φιλουμένην. στερήσας, scl. τοῦ ζωστῆρος.

10) Ἱππολύτης) Vit. 1. et Ciz. ἀντὶ τῆς Ἱππ. ἐπωνύμως: Vitt. 2, et 3. τῆς Ἀντιόπης Ἱππολύτης ἐπώνυμον. Vnde patet, lectionem Vit. 1. et Ciz. esse corruptam, et inter Ἀντιόπης et Ἱππολύτης interiecta part. ἢ vel καὶ legendum esse τῆς Ἀντιόπ. ἢ vel καὶ Ἱππ. Antiopen vero etiam dictam esse Hippolytam, docet Boettiger in Vas. figl. pictur. V. I. P. III, p. 163 sqq.

1) Νεπτουνὶς) Nostri Νεπουνὶς, vt etiam Νεπουνίδες, cff. Nott. ad Lycophr. Thryllit. addit: νεπτουνίδες *si vera est lectio, bene dixit Catull. 64, 28. Thetidem Neptuninen, h. e.* ὠκεανίνην: *Hom.* δὸς δέ μοι ἑξήκοντα χορήτιδας ὠκεανίνας, *vid. quae ad Catull. scripsimus.* Sane bene, si Graeci Ποσειδῶνα nominassent quoque Νεπτοῦνον; Amazones quoque tunc dici possent Neptunides, ab arte equitandi et equos domandi, quae ars Neptuno Ἱππίῳ tribuitur a Virg. Georg. I, 12. et Diod. Sic. V, 69.

2) ἡ Ἀμαζ. αὕτη) Vit. 1. et Ciz. Ἱππολύτη.

3) Νεπτουνίδες — Σκυθίαν) Absunt a Vitt. 2 et 3. Verba vero νικηθεῖσαι ὑπέστρεψ. εἰς Ἰταλίαν adiungunt sqq. στρατεῦσαι.

4) αὗται) Vit. 1. et Ciz. αἱ Ἀμαζόνες.

5) εἰς Σκυθίαν) Nostri, vt edd. ante Seb. εἰς Ἰταλίαν.

6) Ἑλλάνικος) Cf. Sturz. in Fragm. p. 9 et 117. Ἐν Ἀττικῇ ξυγγραφῇ, *cuius praeter Thucydidem* I, 97, *meminerunt Iustinus Martyr in Paraenesi ad Graecos et Harpocration in* Ἐρυθραῖοι, *iterumque in* Ἀλόπη. Sebast.

ρικοῦ Βοσπόρου, διέβησαν αὐτὸν, καὶ ἦλθον εἰς τὴν Ἀττικὴν, καὶ τέτρασι μησὶ πολεμήσασαι, ὑπεστράφησαν. Οὐ λέγει δὲ τὴν αἰτίαν. Λυσίας 7) δὲ ὁ ῥήτωρ πρώτας 8) φησὶν αὐτὰς ἁπάντων ἀνθρώπων τολμῆσαι 9) ἵππων 10) ἐπιβῆναι. Τῆς ἀνδρείας οὖν αὐτῶν πειρώμεναι, πολλοὺς κατέδραμόν τόπους· ἐλθοῦσαι δὲ καὶ πρὸς τὴν Ἀττικὴν 11), μόλις μὲν, ἡττήθησαν δέ. Ἡρόδωρός 12) δὲ ὁ Ποντικὸς τότε φησὶ Θησέα λαβεῖν τὴν Ἀντιόπην, ἢ μαχομένην 13) μετ' αὐτοῦ, καὶ ὑπὸ Μόλπιδος 14) τῆς Ἀμαζόνος ἀκοντισθεῖσάν 15) τε καὶ πεσοῦσαν, ἢ πρέσβιν εἰρήνης τοῖς Ἀθηναίοις 16) μετὰ ξενίων ἐλθοῦσαν.

1333 — 34. Ἔριν] Ἔρις, Λάγμος 17), Τή-

Phot. etiam in Lex. p. 203. ad Μουνυχία, et p. 396. ad Στεφανηφόρος.

7) Λυσίας) In orat. funebr. XXXI, c. 2. §. 2. Io. Tzetz. in Posthomer. v. 14. Ἑλλάνικος, Λυσίας δὲ καὶ ἄλλοι ἄνδρες ἀγανοί.

8) πρώτας) Vit. 1. et Ciz. πρώτως: Lysias πρῶται.

9) τολμῆσαι) Vitt. 2 et 3. πολεμῆσαι καὶ, neque rei, neque loco Lysiae satis apte, nam Lysias, μόναι, inquit, ὡπλισμέναι σιδήρῳ τῶν περὶ αὐτὰς, πρῶται δὲ τῶν πάντων ἐφ' ἵππους ἀναβᾶσαι.

10) ἵππων) Pro ἵππον nostri cum Sebast.

11) τὴν Ἀττικὴν) Vitt. 2 et 3. τοὺς Ἀττικούς.

12) Ἡρόδωρος) Nostri cum edd. pr. male Ἡρόδοτος, nam Herodotus huius rei mentionem facit nullam. Vit. 1. et Ciz. adeo omittunt ὁ ποντικός. vid. ad v. 662. et Plutarch. Thes. 26. et Iacobs ad Io. Tzetzae Antehomer. v. 236, vbi quoque nominatur Ἡρόδοτος ὁ ποντικός. Cf. omnino ad h. l. Siebelis in Symbol. critt. et exegett. in Ἑλληνικὰ p. 184 sqq. quae ibi docte disputauit, diligenterque congessit de Amazonibus.

13) μαχομένην) Sic quoque Vit. 1. et Ciz. sed Vitt. 2 et 3. μοιχευομένην, vt Baroc. In ora tamen Vit. 2. μυχουμένην. leg. μαχουμένην l. μαχευομένην.

14) Μόλπιδος) Vit. 1. et Ciz. Μαλπουδίας, mendose.

15) ἀκοντισθ. — πεσοῦσαν) Vitt. 2 et 3. σκοτισθεῖσ. — ἐμπεσοῦσαν, corrupte.

16) τοῖς Ἀθηναίοις) Nostri pro ἐπὶ τοὺς Ἀθηναίους, vt Seb. vel εἰς Ἀθήνας, vt edd. ante Seb.

17) Λάγμος) Vitt. 2 et 3. Λάγνος.

λαμος καὶ Θερμώδων, ποταμοὶ περὶ Σκυθίαν[18]). Ἀκταῖον δὲ ὄρος Σκυθίας.

1340. Γυίας [1])] Χώρας. Τὸ δὲ γυι καὶ μετὰ προσγεγραμμένης, καὶ δίχα προσγεγραμμένης [2]), οὐ λυμαίνεται τὸ μέτρον τοῦ στίχου.

1341. Πάππος [3])] Ὁ Ἶλος. Τινὲς δὲ τὸν Λαομέδοντά φασιν· ὁ γὰρ Λαομέδων κρατήσας τῶν πόλεων, ἃς ὁ Λυκόφρων ἀπαριθμεῖται, ἔκτισε τὴν Τροίαν ἄχρι τοῦ Πηνειοῦ. Πρώην γὰρ ἡ Τροία μικρόν τι πολίχνιον ἦν.

1342. Χώραν τ' Ἐορδῶν] Ἐορδοί, οἱ Μακεδόνες.

Χαλαδραῖον [4])] Χάλαδρος, πόλις Μακεδονίας.

1343. Πηνειοῦ] Πηνειός, ποταμὸς Θεσσαλίας [5]). Μέχρι δὲ Θεσσαλίας [6]) ὁ Ἶλος ἐκράτει.

1345. Ἀλκῇ νέανδρος] Νέος ἀνδρεῖος. Μετέφρασε δὲ τὸ Αἰσχύλειον· τὸν, ὃν [7]) γὰρ ἀνδρόπαιδά φησιν Αἰσχύλος [8]), οὗτος νέανδρον, ὡς μεταφράζων [9]), λέγει.

1346 — 48. Ἡ δ' ἀντὶ τούτων] Ἡ Εὐρώπη δὲ ἀντὶ τῶν τιμωρημάτων [10]) τούτων τὸν Ἡρακλέα, τὸν

18) περὶ Σκυθίαν) Pro Σκυθίας Vit. 1. et Ciz. omissis sqq. Ἀκταῖον — Σκυθίας.

